φρόνημα καταποθῇ καὶ κυριευθῇ ὑπὸ τῆς ἐν ἡμῖν προθυμίας, τότε λοιπὸν μετὰ πάσης χαρᾶς, καὶ σπουδῆς, καὶ πόθου, καὶ φλογὸς θείας ταύτας κατεργαζόμεθα.

λ΄. Καθ᾽ ὅσον ἐπαινετοὶ οἱ εὐθέως ἐκ προοιμίων μετὰ χαρᾶς καὶ προθυμίας τὰς ἀρετὰς μετιόντες, καὶ τὰς ἐντολὰς ἐκτελοῦντες, κατὰ τοσοῦτον ἐλεεινοὶ οἱ ἐν τῇ ἀσκήσει χρονίσαντες, καὶ ἔτι μετὰ κόπου αὐτὰς μετερχόμενοι, κἂν μετέρχωνται.

λα΄. Μηδὲ τὰς περιστατικὰς ἀποταγὰς βδελυξώμεθα, ἢ κατακρίνωμεν· εἶδον γάρ τινας φεύγοντας, καὶ ἀκουσίως τῷ βασιλεῖ συναντήσαντας προερχομένῳ, καὶ τοῦτον λοιπὸν δορυφορήσαντας, καὶ ἐν τῷ παλατίῳ συνεισελθόντας, καὶ τούτῳ συναριστήσαντας[1].

λβ΄. Εἶδον σπόρον εἰς γῆν ἀκουσίως ἐμπεσόντα, καὶ καρπὸν εὐθαλῆ τε καὶ πολὺν ἐνεγκόντας· ὥσπερ δὴ καὶ τὸ ἔμπαλιν.

λγ΄. Εἶδον ἐν ἰατρείῳ τινὰ κατά τινα χρείαν ἑτέραν παραγενόμενον, καὶ τῇ τοῦ ἰατροῦ ἀστειότητι κρατηθέντα, καὶ ἀποστυφθέντα, καὶ τὴν ἐπικειμένην τῷ φωτὶ αὐτοῦ ἀχλὺν ἀποβαλόντα· καὶ γέγονε τὰ ἀκούσια τῶν ἔν τισιν ἑκουσίων βεβαιότερά τε, καὶ κυριώτερα.

λδ΄. Μηδεὶς βάρος καὶ πλῆθος ἁμαρτιῶν προφασιζόμενος, ἀνάξιον ἑαυτὸν τοῦ μοναχικοῦ ἐπαγγέλματος ἀποκαλείτω, καὶ διὰ ἡδυπάθειαν ἑαυτὸν εὐτελίζειν νομιζέτω, προφάσεις προφασιζόμενος ἐν ἁμαρτίαις· ὅπου γὰρ πολλὴ σηπεδών, ἐκεῖ καὶ μεγάλης ἰατρείας χρεία, ἵνα τὸν ῥύπον ἀπόθηται[1]· οἱ γὰρ ὑγιαίνοντες ἐν ἰατρείῳ οὐ παραγίνονται.

λε΄. Εἰ βασιλέως ἐπιγείου καλέσαντος, καὶ εἰς τὴν κατὰ πρόσωπον αὐτοῦ δουλείαν στρατεῦσαι θελήσαντος, οὐκ ἂν ἐμμένομεν (α), οὐ προεφασιζόμεθα· ἀλλὰ πάντα καταλιπόντες, προθύμως ἂν αὐτὸν κατεφθάνομεν· πρόσχωμεν ἑαυτοῖς, μήπως τοῦ βασιλέως τῶν βασιλέων, καὶ Κυρίου τῶν Κυρίων, καὶ Θεοῦ τῶν Θεῶν καλοῦντος ἡμᾶς εἰς τὴν οὐράνιον ταύτην τάξιν, ἐξ ὀκνηρίας καὶ ῥαθυμίας παραιτησώμεθα, καὶ ἐν τῷ μεγάλῳ βήματι εὑρεθῶμεν ἀναπολόγητοι.

(α) Ἴσως ἐμένομεν.

λς΄. Δυνατὸν μὲν καὶ δεδεμένον τοῖς τοῦ βίου πράγμασι, καὶ σιδηραῖς φροντίσι βαδίζειν, ἀλλὰ δυσχερῶς· ἐπεὶ καὶ οἱ κλοιὰ περικείμενοι τοῖς ποσὶ πολλάκις βαδίζουσιν, ἀλλὰ συνεχῶς προσκόπτουσι, καὶ τραύματα δέχονται.

λζ΄. Ὁ μὲν ἄγαμος ἐν τῷ κόσμῳ μόνοις τοῖς πράγμασι δεδεμένος, τῷ ἐν χερσὶ κλοιὰ περικειμένῳ ἔοικε· διὸ καὶ ὅτε βούλεται δραμεῖν πρὸς τὸν μονήρη βίον, οὐ κωλύεται· ὁ δὲ γήμας τῷ ἐν χερσί, καὶ ποσὶ ταῦτα περικειμένῳ.

λη΄. Ἤκουσά τινων ἐν κόσμῳ ἀμελῶς διακειμένων, εἰρηκότων πρός με· πῶς δυνάμεθα συζῶντες ὁμοζύγοις, καὶ δημοσίαις περιστοιχιζόμενοι φροντίσι, τὸν μοναδικὸν βίον μετελθεῖν; πρὸς οὓς ἀπεκρίθην· πάντα ὅσα δύνασθε ποιεῖν ἀγαθά, ποιεῖτε· μηδένα λοιδορήσητε· μηδενὶ ψεύσησθε· μηδενὸς κατεπαρθῆτε· μηδένα μισήσητε· τῶν συνάξεων

τητος ἔφεσιν· ἢ διὰ τὸ μήπω τῶν παθῶν τελείως ἀπαλλαγῆναι· ἢ διὰ τὸ μὴ εἰδέναι, εἰ ἀρεστὰ τῷ Θεῷ καὶ ἀποδοχῆς ἄξια τὰ ἔργα ἡμῶν.

(1) Περιστατικὰς ἀποταγὰς λέγει τὰς κατὰ σύμβασιν, καὶ συμφορῶν τινων ἐπέλευσιν γινομένας· φεύγοντας δέ, τοὺς διά τι πλημμέλημα τῆς πατρίδος διωκομένους, τοὺς καὶ φυγάδας καλουμένους. Ἐπειδὰν οὖν τινος αὐτῶν κατά τινα χώραν διάγοντος, συμβῇ μεταξὺ πάροδον βασιλικὴν γενέσθαι ἐκεῖθεν, εἶτα μηνυθέντος τῷ βασιλεῖ ὡς κατ᾽ αὐτοῦ σκαιωρεῖ, βίᾳ μὲν αὐτὸν ἀχθῆναι προστάσσει· ἐρευνήσας δὲ καὶ μαθὼν μηδὲν εἰς αὐτὸν ἠδικηκέναι τὸν ἄνδρα, τῆς τε φυγαδείας ἀνακαλεῖται, καὶ παντοίοις δεξιοῦται καλοῖς, ὡς καὶ ἐπιτρέψαι συνδειπνῆσαι αὐτῷ. Ἡ δὲ τοιαύτη παραβολὴ δείκνυσι Παῦλον, καὶ ἑτέρους πολλούς, Χριστῷ ἀκουσίως ὑπαντήσαντας, σὺν αὐτῷ δὲ εἰσελθόντας καὶ συμβασιλεύσαντας.

(1) Φησὶ δὲ καί τις τῶν Ἁγίων· Ὅπου βάρος φορτίων, ἐκεῖ συμβοηθοῦντος χρεία· καὶ ὅπου βόρβορος ψυχῆς, ἐκεῖ δακρύων χρεία.



μὴ χωρίζησθε· τοῖς δεομένοις συμπαθεῖτε· μηδένα σκανδαλίσητε· ἀλλοτρίᾳ μερίδι μὴ προσεγγίσητε· καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις τῶν γυναικῶν ὑμῶν· ἐὰν οὕτως ποιῆτε, οὐ μακράν ἐστε τῆς βασιλείας τῶν οὐρανῶν.

λθ΄. Προσδράμωμεν χαρᾷ καὶ φόβῳ τῷ καλῷ ἀγῶνι, μὴ δειλιῶντες τοὺς ἐχθροὺς ἡμῶν· ἐπειδὴ εἰς πρόσωπον τῆς ψυχῆς ἡμῶν καθορῶσιν[1], εἰ καὶ οὐχ ὁρῶνται· κἂν ἴδωσιν αὐτὸ ἐκ δειλίας ἀλλοιωθέν, τότε καθ᾽ ἡμῶν πικροτέρως ὁπλίζονται, νοήσαντες οἱ δόλιοι ὅτι ἐφοβήθημεν· εὐψύχως οὖν πρὸς αὐτοὺς ὁπλισώμεθα· τῷ γὰρ μαχομένῳ προθύμως οὐδεὶς μάχεται.

μ΄. Οἰκονομικῶς ὁ Κύριος ἀπὸ τῶν νεοπαγῶν τοὺς πολέμους ἐκούφισεν, ἵνα μὴ ἐκ προοιμίων εὐθέως εἰς τὸν κόσμον ἐπαναλύσωσι· διὸ χαίρετε ἐν Κυρίῳ πάντοτε πάντες οἱ δοῦλοι αὐτοῦ, τοῦτο πρῶτον σημεῖον ἐν ἑαυτοῖς τῆς τοῦ Δεσπότου πρὸς ἡμᾶς ἀγάπης γνωρίσαντες· καὶ ὡς αὐτὸς ἡμᾶς κέκληκε.

μα΄. Καὶ τοῦτο δὲ ποιῶν ὁ Θεὸς πολλάκις γνωρίζεται· ἰδὼν γὰρ ἀνδρείας ψυχάς, εὐθέως ἐκ προοιμίων τοὺς πολέμους συνεχώρησεν ἐν αὐταῖς, στεφανῶσαι ταύτας συντόμως βουλόμενος.

μβ΄. Ἀπέκρυψεν ὁ Κύριος ἀπὸ τῶν ἐν κόσμῳ τὴν τοῦ σταδίου δυσχέρειαν, μᾶλλον δὲ εὐχέρειαν[2]· εἰ γὰρ ταύτην ἔγνωσαν, οὐκ ἂν ἀπετάσσετο πᾶσα σάρξ.

μγ΄. Δίδου κόπους νεότητός σου Χριστῷ, καὶ χαρήσῃ ἐν γήρᾳ ἐπὶ πλούτῳ ἀπαθείας· τὰ ἐν νεότητι συναγόμενα, ἐν τῷ γήρᾳ τοὺς ἐξατονήσαντας τρέφουσι, καὶ παραμυθοῦνται· κάμωμεν νέοι ζεόντως· δράμωμεν νηφόντως· ὁ γὰρ θάνατος ἄδηλος.

μδ΄. Πονηροὺς ἀληθῶς, καὶ χαλεπούς, δολίους, πανούργους, δυνατούς, καὶ ἀΰπνους, ἀοράτους, ἀΰλους ἐχθροὺς ἔχομεν· μετὰ χεῖρας πῦρ κατέχοντας, καὶ τὸν ναὸν τοῦ Θεοῦ ἐμπρῆσαι ἐπιθυμοῦντας διὰ τῆς φλογὸς τῆς ἐν αὐτοῖς.

με΄. Μηδεὶς νέος ὑπάρχων, τοὺς ἐχθροὺς αὐτῷ δαίμονας παραδεξάσθω, λέγοντας· μή σου κατατρίψῃς τὴν σάρκα, ἵνα μὴ νόσοις καὶ ἀσθενείαις περιπέσῃς[1]· μόλις γάρ, ἐν τῇ παρούσῃ μάλιστα γενεᾷ, εὑρεθήσεται ὁ θανατῶσαι ταύτην προελόμενος· κἂν τῶν πολλῶν καὶ ἡδυνόντων βρωμάτων ἑαυτὸν στερήσει (α)· σκοπὸς δὲ τούτῳ τῷ δαίμονι αὐτὴν ἡμῶν τὴν ἐν τῷ σταδίῳ εἴσοδον χαύνην, καὶ πλήρη ῥαθυμίας ποιῆσαι, καὶ τὸ τέλος λοιπὸν τῇ ἀρχῇ κατάλληλον.

(α) Ἐν ἄλλ. στερήσεις.

μς΄. Πρὸ πάντων τοῦτο καὶ ζητήσουσι, καὶ ποιήσουσιν οἱ Χριστῷ γνησίως δουλεῦσαι προελόμενοι· ἵνα καὶ τοὺς τόπους, καὶ τοὺς τρόπους, καὶ τὰ καθίσματα, καὶ τὰ ἐπιτηδεύματα, διὰ πνευματικῶν Πατέρων, καὶ οἰκείας ἐπιγνώσεως, ἁρμόζοντα ἑαυτοῖς

(1) Πρόσωπον ψυχῆς τὰς δυνάμεις εἴρηκε τῆς ψυχῆς· καὶ γὰρ ἐκ τῶν αἰνιγμάτων τῶν ψυχικῶν διαθέσεων καὶ μιμήσεων βλέπουσιν ἡμῶν τὴν κατάστασιν οἱ ἐχθροὶ ἡμῶν δαίμονες· ἐπεὶ οὐκ ἐξ ἑαυτῶν γινώσκουσι τὴν ἡμῶν διάνοιαν, μόνον δὲ τὰς ἰδίας τέχνας ἐπισπείρουσι, καὶ ἐκδέχονται τὸ μετὰ ποίας διαθέσεως εἰσδεξόμεθα τὰς ἐπιβουλάς· καὶ μὴ ὁρῶντας, ὁρᾷν αὐτοὺς διὰ τῆς ἡμῶν ῥαθυμίας ποιοῦμεν.

(2) Ἡ τοῖς πολλοῖς δοκοῦσα δυσχέρεια τοῦ ἀθλητικοῦ ἀγῶνος, οὐ μέν τοι ἐμοὶ δυσχέρεια, φησί, δοκεῖ, ἤ ἐστι· τῷ μὲν γὰρ δοκεῖν, δυσχέρεια· τῇ δ᾽ ἀληθείᾳ, εὐχέρεια· ὅμως δὲ τὴν δοκοῦσαν ταύτην δυσχέρειαν ἀπέκρυψεν ὁ Θεὸς ἀπὸ τῶν ἐν κόσμῳ· ἐπεί, εἰ ἀπέβλεψαν εἰς τὸ δυσχερὲς αὐτῆς, οὐκ ἂν ἀπετάσσετό τις· ἐπειδή, κατὰ τὸν Ἀπόστολον, «σαρκικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος· μωρία γὰρ αὐτῷ ἐστι»· τὸ δὲ πρὸς Θεὸν αἵρεσθαι, πνευματικοῦ ἐστιν· οἱ δὲ κατὰ κόσμον πολιτευόμενοι πῶς ὤφειλον τὰ ἴδια τῆς αἰσχύνης ἰδιώματα ἀποτάξασθαι, εἰ μὴ Θεὸς διὰ μεθοδείας ἐκάλεσε; καὶ γὰρ «σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται».

Α΄. Πρὸς Κοριν. β΄. 15.

Α΄. Πρὸς Κοριν. ιέ. 50.

(1) Ταῦτά τινες ἁπλῶς ἀναγνόντες, καὶ ἀδιακρίτῳ βίᾳ ἑαυτοὺς ἐκδόντες, διαπεφωνήκασιν. Οὐ πᾶσιν οὖν, ἀλλὰ τοῖς δυνατοῖς, καὶ σῶμα σφριγῶν ἔχουσι, καὶ χάριν ἐν τούτοις λαβοῦσι ταῦτα νομοθετεῖ ὁ Πατήρ· τοῖς δὲ λοιποῖς, κατὰ δύναμιν αὐτὸ δουλαγωγεῖν, πρόνοιαν αὐτοῦ εἰς ἐπιθυμίαν μὴ ποιουμένοις.

ἐπιλέξωνται· οὐ γὰρ πάντων τὰ κοινόβια, διὰ τὸ λιχνῶδες· οὐδὲ πάντων τὰ ἡσυχαστήρια, διὰ τὸ θυμῶδες· ἕκαστος δὲ ἐπισκέψεται ἐν ποίῳ πεποίωται.

μζ'. Ἐν τρισὶ γενικωτάταις καταστάσεσι καθισμάτων ἅπασα ἡ μοναχικὴ περιέχεται πολιτεία· ἢ ἐν ἀθλητικῇ ἀναχωρήσει, καὶ μονίᾳ· ἢ μετὰ ἑνός, ἢ δύο ἡσυχάζειν· ἢ ἐν κοινοβίῳ μεθ' ὑπομονῆς καθέζεσθαι· *Παροιμία. δ'. 27.* «μὴ ἐκκλίνῃς, φησὶν ὁ Ἐκκλησιαστής, εἰς τὰ δεξιά, ἢ εἰς τὰ ἀριστερά· ἀλλ' ὁδῷ βασιλικῇ πορεύθητι [1]· ἡ γὰρ μέση τῶν προειρημένων πολλοῖς ἁρμόδιος καθέστηκε· *Ἐκκλησιαστ. δ'. 10.* τῷ μὲν γὰρ μόνῳ, οὐαί, φησίν, ὅτι ἐὰν πέσῃ εἰς ἀκηδίαν, ἢ ὕπνον, ἢ ῥᾳθυμίαν, ἢ ἀπόγνωσιν, οὐκ ἔστιν ὁ ἐγείρων αὐτὸν ἐν ἀνθρώποις· ὅπου δέ εἰσι δύο, ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν ὁ Κύριος εἴρηκεν. *Ματθ. ιη' 20.*

μη'. Τίς ἄρά ἐστιν ὁ πιστὸς καὶ φρόνιμος μοναχός, ὃς τὴν θέρμην τὴν ἑαυτοῦ ἐφύλαξεν ἄσβεστον, καὶ μέχρι τῆς αὑτοῦ ἐξόδου καθ' ἡμέραν πῦρ πυρὶ προστιθείς, καὶ θέρμην θέρμῃ, καὶ πόθον πόθῳ, καὶ σπουδὴν σπουδῇ οὐκ ἐπαύσατο;

Πρώτη ἀνάβασις· ὁ ἐπιβεβηκώς, μὴ στραφῇς εἰς τὰ ὀπίσω.

---

## ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

### Περὶ ἀπροσπαθείας, καὶ περὶ ἀποταγῆς.

Ὁ ἐν ἀληθείᾳ τὸν Κύριον ἀγαπήσας· ὁ ἐν ἀληθείᾳ τῆς μελλούσης βασιλείας ἐπιζητήσας τυχεῖν· ὁ ἐν ἀληθείᾳ πόνον περὶ τῶν ἑαυτοῦ πταισμάτων ἐσχηκώς· ὁ ἐν ἀληθείᾳ μνήμην κολάσεως κτησάμενος καὶ κρίσεως αἰωνίου· ὁ ἐν ἀληθείᾳ φόβον τῆς ἑαυτοῦ ἐξόδου ἀναλαβών, οὐκέτι ἀγαπήσει, οὐκέτι φροντίσει, ἢ μεριμνήσει, οὐ χρημάτων, οὐ κτημάτων, οὐ γονέων, οὐ δόξης τοῦ βίου, οὐ φίλων, οὐκ ἀδελφῶν, οὐδενὸς ἐπιγείου τὸ παράπαν [2]· ἀλλὰ πᾶσαν αὐτοῦ τὴν σχέσιν, πᾶσαν τὴν περὶ τούτων φροντίδα ἐκτιναξάμενος, καὶ μισήσας, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ σάρκα πρὸ τούτων, γυμνός, καὶ ἀμέριμνος, καὶ ἄοκνος Χριστῷ ἀκολουθεῖ, πρὸς τὸν οὐρανὸν ἀεὶ βλέπων, καὶ τὴν ἐκεῖθεν βοήθειαν ἐκδεχόμενος, κατὰ τὸν εἰπόντα ἅγιον· «ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου»· *Ψαλμ. ξϐ'.* καὶ τὸν ἄλλον τὸν ἀείμνηστον εἰρηκότα· «ἐγὼ δὲ οὐκ ἐκοπίασα κατακολουθῶν σοι καὶ ἡμέραν ἢ ἀνάπαυσιν ἀνθρώπου οὐκ ἐπεθύμησα, Κύριε». *Ἱερεμ. ιζ'. 16.*

---

(1) Ἐπεὶ ἀνωτέρω εἴρηκεν, ὅτι οὐ πάντων τὰ Κοινόβια, διὰ τὸ λιχνῶδες· οὐ δὲ πάντων τὰ ἡσυχαστήρια, διὰ τὸ θυμῶδες· τὰ δύο ἄκρα εἰπών, τὸ μέσον καὶ νῦν ἐπαινούμενον παρὰ τῆς θείας Γραφῆς καὶ ἑαυτοῦ κατέλιπεν· ἐφ' ᾧ περ καὶ τὸν Κύριον προτρέποντα δείκνυσιν, ἐν τῷ λέγειν· «ὅπου εἰσὶ δύο, ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν»· εἰ καί τινες τοῦτο ἐπὶ ψυχῆς, καὶ νοῦ, καὶ σώματος ἐξελάβοντο.

(2) Φησὶ δὲ καὶ ὁ μέγας Βασίλειος· Λυθῆναι δεῖ τῶν δεσμῶν τῆς προσπαθείας τοῦ βίου τόν γε ἀληθινῶς τῷ Θεῷ κατακολουθήσειν μέλλοντα· τοῦτο δὲ διὰ παντελοῦς ἀναχωρήσεως, καὶ λήθης τῶν παλαιῶν ἠθῶν κατορθοῦται· ὡς εἰ μή γε ἀποξενώσωμεν ἑαυτοὺς καὶ συγγενείας σαρκικῆς, καὶ κοινωνίας βίου, οἱονεὶ πρὸς ἕτερον βίον διὰ τῆς σχέσεως μεταβάντες, κατὰ τὸν εἰπόντα, «ἡμῶν γὰρ *Πρὸς Φιλιπ. γ'. 20.* τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει», ἀμήχανον ἡμᾶς περιγενέσθαι τοῦ σκοποῦ τῆς πρὸς Θεὸν εὐαρεστήσεως, τοῦ Κυρίου ὁριστικῶς εἰπόντος, «οὕτως οὖν *Λουκ. ιδ'. 33.* πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής»· ὅπερ ἑτέρωθι ὁ ἴδιος σαφηνίζων, φησί· Σκοπὸς τῷ Κυρίῳ ἐν τοῖς ὑποδείγμασι τούτοις ἐστίν, οὐκ ἐξουσίαν δοῦναι γενέσθαι μαθητὴν τοῦ Κυρίου, ἢ μή, ἀλλὰ δεῖξαι τὸ ἀδύνατον τῆς πρὸς Θεὸν εὐαρεστήσεως ἐν τοῖς περισπῶσι τὴν ψυχήν· ἐν οἷς καὶ κινδυνεύει εὐάλωτος γινομένη ταῖς μεθοδείαις τοῦ διαβόλου, καὶ χλεύης καὶ γέλωτος ἀξία διὰ τὸ ἀτελὲς τῶν ἐσπουδάσθαι δοκούντων ἐλέγχεται· ὅπερ ἀπευχόμενος ὁ προφήτης παθεῖν, ἔλεγε· «Μή ποτε ἐπιχαρῶσί *Ψαλμ. λζ'.* μοι οἱ ἐχθροί μου· καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησαν».



ϐ'. Αἰσχύνη μεγίστη ὑπάρχει πάντα τὰ προειρημένα καταλιπόντας, μετὰ τὴν κλῆσιν, ἣν ὁ Κύριος κέκληκεν ἡμᾶς, καὶ οὐκ ἄνθρωπος, ἑτέρου τινὸς φροντίζειν, μὴ δυναμένου ἡμᾶς εὐεργετῆσαι ἐν τῇ ὥρᾳ τῆς ἀνάγκης ἡμῶν, ἤγουν τῆς ἐξόδου· τοῦτο *Λουκ. θ'. 62.* γάρ ἐστιν ὅπερ εἶπεν ὁ Κύριος στραφῆναι εἰς τὰ ὀπίσω, καὶ μὴ εὑρεθῆναι εὔθετον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

γ'. Ὁ Κύριος τὸ εὐόλισθον ἡμῶν τῶν εἰσαγωγικῶν γινώσκων, καὶ ὡς εὐχερῶς τοῖς κοσμικοῖς συνδιάγοντες, ἢ συντυγχάνοντες πάλιν ἐπὶ τὸν κόσμον στρεφόμεθα, φησὶ πρὸς τὸν εἰρηκότα αὐτῷ· «Ἐπίτρεψόν με ἀπελ- *Λουκ. θ'. 60.* θεῖν καὶ θάψαι τὸν πατέρα μου»· ἄφες τοὺς νεκρούς, θάψαι τοὺς ἑαυτῶν νεκρούς.

δ'. Οἱ δαίμονες μετὰ τὴν ἀποταγὴν λοιπὸν τοὺς ἐλεήμονας ἡμῖν καὶ συμπαθεῖς τῶν κοσμικῶν μακαρίζειν ὑποτίθενται, καὶ ἑαυτοὺς ταλανίζειν, ὡς πάσης τῆς τοιαύτης ἀρετῆς ἀποστερήσαντας ἑαυτούς· σκοπὸς δὲ τοῖς ἐχθροῖς ἡμῶν διὰ νόθου ταπεινώσεως ἢ πρὸς τὸν κόσμον ἡμᾶς ἐπαναγαγεῖν, ἢ μένοντας μοναχούς, κατακρημνίσαι πρὸς τὴν ἀπόγνωσιν.

ε'. Ἔστιν εὐτελίζειν τοὺς ἐν κόσμῳ, διὰ οἴησιν· καὶ ἔστιν αὐτοὺς ἀπόντας ἐξουθενεῖν, πρὸς τὸ φυγεῖν τὴν ἀπόγνωσιν, καὶ τὴν ἐλπίδα κτήσασθαι.

ϛ'. Ἀκούσωμεν τοῦ Κυρίου πρὸς ἐκεῖνον τὸν νεανίσκον τὸν πάσας σχεδὸν τὰς ἐντολὰς ἐργασάμενον, εἰρηκότος· ὅτι ἕν σοι λείπει· τὸ πωλῆσαι τὰ ὑπάρχοντα, καὶ δοῦναι πτωχοῖς, καὶ σεαυτὸν πτωχὸν καταστῆσαι, ἐλεημοσύνην δεχόμενον. *Ματθ. θ'. 21.*

ζ'. Οἱ προθύμως καὶ ὀξέως δραμεῖν βουλόμενοι, νουνεχῶς ἐπισκεψώμεθα, πῶς ὁ Κύριος πάντας τοὺς ἐν κόσμῳ διατρίβοντας, καὶ ζῶντας νεκροὺς κατεδίκασεν, εἰπὼν πρός τινα· «ἄφες τοὺς νεκροὺς κοσμικούς, τοὺς τῷ σώματι νεκροὺς θάψαι [1]».

η'. Οὐδὲν ἐκώλυε (α) τὸν νεανίσκον ἐκεῖνον ὁ πλοῦτος προσελθεῖν τῷ βαπτίσματι· ἐματαιώθησαν τοίνυν φάσκοντές τινες, ὅτι τοῦ βαπτίσματος χάριν ὁ Κύριος αὐτῷ πωλῆσαι τὸν πλοῦτον ἐπέταττεν. Ἀρκείτω ἡμῖν εἰς μεγίστην πληροφορίαν τῆς δόξης τοῦ ἡμετέρου ἐπαγγέλματος ἡ τοιαύτη μαρτυρία.

(α) Ἐν ἄλλ. ἐκώλυσε.

θ'. Οἱ ἐν κόσμῳ διάγοντες, καὶ ἀγρυπνίαις, καὶ νηστείαις, καὶ κόποις, καὶ κακοπαθείαις κατατήκοντες ἑαυτούς, πρὸς τὸν μονήρη βίον ὥσπερ ἐπί τι δοκιμαστήριον, ἢ στάδιον ἐκ τῶν ἀνθρώπων ἀναχωροῦντες, τὴν προτέραν ἄσκησιν αὐτῶν τὴν νενοθευμένην καὶ ἐπίπλαστον οὐκέτι μετέρχονται [2].

ι'. Ἑώρακα πλεῖστα φυτὰ ἀρετῶν καὶ διάφορα παρὰ τῶν ἐν κόσμῳ καταφυτευόμενα, καὶ ὥσπερ ἐξ ὑπονόμου τοῦ βορβόρου τῆς κενοδοξίας ποτιζόμενα, καὶ ὑπὸ φανητιασμοῦ σκαλευόμενα, καὶ ὑπὸ ἐπαίνων κοπριζόμενα· καὶ μέν τοι μεταφυτευθέντα ἐν γῇ ἐρήμῳ, καὶ ἀβάτῳ κοσμικῶν, καὶ ἀνύδρῳ κενοδο-

---

(1) Διχῶς εἴρηται ἡ νέκρωσις· ἔστι μὲν νεκρός, ὁ θανών, διὰ τὸ ἀκίνητον καὶ ἀνενέργητον· καὶ ἔστι νεκρός, ὁ τῇ ψυχῇ νεκρωθείς, διὰ τὸ μὴ ἐπακολουθεῖν τῇ ζωῇ· ὥσπερ γὰρ νεκροῦται τῷ κόσμῳ ὁ τὰ ἰδιώματα τοῦ κόσμου ὑπεκδραμών, οὕτω νεκροῦται τῇ ζωῇ, ὁ τὰ τῆς ζωῆς μὴ ποιῶν ἐντάλματα· καὶ καθὼς διὰ τὸ ἀκίνητον καὶ ἀνενέργητον γενέσθαι τὸ ζῶον νεκρὸν εἶναί φαμεν, οὕτω καὶ διὰ τὸ μὴ ἐπακολουθεῖν τῇ ζωῇ διὰ τῆς ἀπαρνήσεως τῶν θελημάτων, νεκρὸς νοητὸς καὶ ἔστι, καὶ λέγεται.

(2) Ἐπίπλαστος καὶ νόθος ἄσκησις λέγεται, ἡ δι' ἔπαινον ἀνθρώπων γινομένη· τὸ δὲ μετὰ δοκιμασίας Πατέρων τελούμενον, γνήσιόν ἐστι, κατὰ τὸν λέγοντα· «ὅτι ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν»· ὅ, μετὰ τοῦ *Ἰωάν. ε'. 30.* τέλειον εἶναι, καὶ ἀκενόδοξον τηρεῖται.

ξιακοῦ καὶ βρωμώδους ὕδατος, εὐθέως ἀπεξηράνθησαν· οὐ γὰρ πεφύκασι τὰ ἔνυδρα φυτὰ ἐν σκληροῖς καὶ ἀνύδροις γυμναστηρίοις καρποφορεῖν.

ια'. Εἴ τις κόσμον ἐμίσησεν, οὗτος λύπην διέφυγεν· εἰ δέ τις πρός τι τῶν ὁρωμένων προσπάθειαν κέκτηται, οὐδέπω λύπης λελύτρωται· πῶς γὰρ ἐπὶ τῇ στερήσει τοῦ ἀγαπωμένου μὴ λυπηθήσεται;

ιβ'. Ἐν πᾶσι μὲν πολλῆς ἡμῖν χρεία τῆς νήψεως, ἐπὶ πλεῖον δὲ τοῦτο προσεκτέον πρὸ τῶν λοιπῶν νουνεχῶς· πολλοὺς τεθέαμαι ἐν κόσμῳ ὑπὸ μεριμνῶν, καὶ φροντίδων, καὶ ἀδολεσχιῶν, καὶ ἀγρυπνιῶν βιωτικῶν τὴν τοῦ οἰκείου σώματος μανίαν ἐκφυγόντας· ἐν ἀμεριμνίᾳ δὲ πάσῃ πρὸς τὸν μονήρη βίον ἐληλυθότες οἱ τοιοῦτοι, ἐλεεινῶς ὑπὸ τῆς τοῦ σώματος κινήσεως ἐῤῥυπώθησαν [1].

ιγ'. Πρόσχωμεν ἑαυτοῖς, μή ποτε τὴν στενὴν καὶ τεθλιμμένην λέγοντες ὁδεύειν ὁδόν, τὴν πλατεῖαν καὶ εὐρύχωρον κατέχοντες, ἐπλανήθημεν [2]. Στενὴν ὁδὸν ἐμφανίσει σοι θλῖψις κοιλίας, στάσις παννύχιος, μέτρον ὕδατος, ἄρτου ἔνδεια· ἀτιμίας πόμα καθάρσιον, μυκτηρισμοί, καταγέλωτες, ἐμπαιγμοί, ἐκκοπὴ θελημάτων οἰκείων, προσκρούσεων ὑπομονή, περιφρονήσεως ἀγογγυσία, ὕβρεων βία· ἀδικούμενον ὑπομένειν ἰσχυρῶς, καταλαλούμενον μὴ ἀγανακτεῖν, ἐξουθενούμενον μὴ ὀργίζεσθαι, κατακρινόμενον ταπεινοῦσθαι· μακάριοι οἱ τὴν προειρημένην ὁδὸν πορευόμενοι [3]· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

ιδ'. Οὐδεὶς ἐν τῷ οὐρανίῳ νυμφῶνι στεφανηφορῶν εἰσελεύσεται, μὴ τὴν πρώτην, καὶ δευτέραν, καὶ τρίτην ἀποταγὴν ἀποταξάμενος· λέγω δή, τὴν πάντων τῶν πραγμάτων, καὶ ἀνθρώπων, καὶ γονέων· καὶ τὴν ἐκκοπὴν τοῦ ἰδίου θελήματος, καὶ τρίτην ἀποταγὴν τῆς κενοδοξίας, τῆς ἐπακολουθούσης τῇ ὑπακοῇ.

Ἡσαΐ. νβ'. 11. ιε'. «Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, καὶ ἀκαθαρσίας κόσμου [1] μὴ ἅπτεσθε λέγει Κύριος»· τίς γὰρ παρ' ἐκείνοις θαύματα πεποίηκε πώποτε; τίς νεκροὺς ἤγειρε; τίς δαίμονας ἀπήλασεν; οὐδείς· ταῦτα γὰρ πάντα μοναχῶν τὰ ἔπαθλα, ἃ ὁ κόσμος χωρῆσαι οὐ δύναται· εἰ γὰρ ἠδύνατο, περιττὴ ἡ ἄσκησις, ἤγουν ἡ ἀναχώρησις.

ις'. Ὁπόταν οἱ δαίμονες μετὰ τὴν ἀποταγὴν τῇ πρὸς τοὺς γονεῖς ἡμῶν μνήμῃ καὶ ἀδελφοὺς τὴν καρδίαν ἡμῶν ἐκθερμαίνωσι, τότε ἡμεῖς τῇ προσευχῇ κατ' αὐτῶν ὁπλισώμεθα, καὶ τῇ τοῦ αἰωνίου πυρὸς μνήμῃ πυρώσωμεν ἑαυτούς· ἵνα τῇ τούτου ὑπομνήσει τὸ ἄκαιρον τῆς καρδίας πῦρ κατασβέσωμεν [2]· Εἴ τις ἀπροσπαθὼς διακεῖσθαι νομίζει περὶ πρᾶγμα τὸ οἱονοῦν, ἐπὶ δὲ τῇ τούτου στερήσει τὴν καρδίαν λελύπηται, ὁ τοιοῦτος τελείως ἠπάτηται.

ιζ'. Ὅσοι νέοι περὶ τοὺς τῶν σωμάτων ἔρωτας καὶ τὴν τρυφὴν ἐμμανῶς διάκεινται, καὶ τῇ μοναδικῇ πολιτείᾳ προσελθεῖν βού-

(1) Τοῦτο δὲ συμβαίνει, ἐξ ἀμελείας· ἐξ ἀπροσεξίας· ἐξ οἰήσεως· ἐξ ἰδιοῤῥυθμίας, καὶ διὰ τὸ μὴ παιδεύεσθαι ὑπὸ τοῦ προεστῶτος· ὅπερ οὐκ ἀκίνδυνον αὐτῷ.

(2) Πλατεῖαν ὁδὸν καὶ εὐρύχωρον ἡ φιλαυτία καὶ ἡ αὐταρέσκεια ποιεῖ.

(3) Διὰ τοῦτο μακάριοι οἱ τὴν τεθλιμμένην ὁδὸν βαδίζοντες, ὅτι ἡ μὲν ἀνάπαυσις τρέφει, καὶ αὔξει τὴν ἡδυπάθειαν, αἱ δὲ θλίψεις καὶ οἱ κίνδυνοι ἀποκτείνουσιν αὐτήν.

(1) Ἀκαθαρσία κόσμου, τὸ φιλήδονον, καὶ φιλόϋλον, καὶ φιλόδοξόν ἐστι· ἀκάθαρτος δὲ λέγεται ὁ ἄνθρωπος, οὐ καθὸ ἐκτίσθη, ἀλλὰ καθὸ ἐξετράπη τοῖς θελήμασι· κατὰ τό, «Ἀκάθαρτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος». Παροιμ. ις'. 5.

(2) Ἄκαιρον πῦρ τῆς καρδίας λέγει, τὸ ὑπὸ τῆς ἐπιθυμίας καὶ προσπαθείας τῶν συγγενῶν, καὶ τῶν τοῦ κόσμου ἐν ἡμῖν ἀνάπτον, καὶ ἐκκαῖον ἡμᾶς εἰς τὸ εἰσέτι τῇ αὐτῶν προσπαθείᾳ ἐμμένειν· τὸ γὰρ ὑπὸ τῆς ἀγάπης τοῦ Θεοῦ ἐκκαιόμενον, δι' οὗ πάντα παροπτέα ἡγούμεθα τὰ ἐνταῦθα, καὶ μόνης τῆς ἀγάπης τοῦ Θεοῦ ἐκκρεμώμεθα, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐφιέμεθα, εὔκαιρον πῦρ εἰκότως ἂν λέγοιτο.



λονται, πάσῃ νήψει καὶ προσοχῇ σπουδαζέτωσαν ἑαυτοὺς γυμνάσαι, καὶ πεῖσαι πάσης τρυφῆς καὶ πονηρίας ἀπέχεσθαι [1]· μήπως «αὐτοῖς γένωνται τὰ ἔσχατα χείρονα τῶν πρώτων». Ματθ. ιβ'. 45.

ιη'. Ὁ λιμὴν καὶ σωτηρίας, καὶ κινδύνων πρόξενος γίνεται [2]· καὶ τοῦτο γινώσκουσιν οἱ τὴν νοητὴν θάλασσαν πλέοντες· ἐλεεινὸν δὲ ἰδέσθαι θέαμα τοὺς ἐν πελάγει διασωθέντας, ἐν τῷ λιμένι ναυαγήσαντας.

Δευτέρα ἀνάβασις· ὁ τρέχων μὴ τὴν σύζυγον, ἀλλ' αὐτὸν τὸν Λὼτ μιμούμενος, φεῦγε.

---

## ΛΟΓΟΣ ΤΡΙΤΟΣ

### Περὶ ξενιτείας.

Ὁρισμ. ξενιτείας. ΞΕΝΙΤΕΙΑ ἐστί, κατάλειψις ἀνεπίστροφος πάντων τῶν ἐν τῇ πατρίδι πρὸς τὸν τῆς εὐσεβείας σκοπὸν ἀντιπραττόντων ἡμῖν [3]. Ξενιτεία ἐστίν, ἀπαῤῥησίαστον ἦθος, ἄγνωστος σοφία, ἀδημοσίευτος σύνεσις, ἀπόκρυφος βίος, ἀθεώρητος σκοπός, ἀφανὴς λογισμός, εὐτελείας ὄρεξις, στενοχωρίας ἐπιθυμία, πόθου θείου ὑπόθεσις, ἔρωτος πλῆθος, κενοδοξίας ἄρνησις, σιωπῆς βυθός.

β'. Πέφυκέ πως καὶ οὗτος ὁ λογισμὸς ἐν προοιμίοις διενοχλεῖν ἀεννάως καὶ ἐπιτεταμένως τοῖς ἐρασταῖς Κυρίου, ὡς ἐν θείῳ πυρὶ λέγω δή, ὁ τῶν ἰδίων μακρυσμός, σκοπῷ εὐτελείας καὶ θλίψεως προτρεπόμενος τοὺς ἐραστὰς τοῦ τοιούτου καλοῦ· πλὴν καθόσον μέγας καὶ ἀξιέπαινός ἐστι κατὰ τοσοῦτον πολλὴν καὶ τὴν διάκρισιν κέκτηται· οὐ γὰρ πᾶσα ξενιτεία ἄκρως γινομένη, καλή [1].

γ'. Εἰ πᾶς προφήτης ἄτιμος ἐν τῇ πατρίδι αὐτοῦ, ὥς φησιν ὁ Κύριος, σκοπήσωμεν μήπως γένηται ἡμῶν ἡ ξενιτεία κενοδοξίας ὑπόθεσις· ξενιτεία γάρ ἐστιν ὁ πάντων χωρισμός, διὰ τὸ τὸν λογισμὸν Θεοῦ ποιῆσαι ἀχώριστον [2]. Ξενιτεύων ἐστίν, ἀνεπιλήστου πένθους ἐραστής, ἢ ἐργάτης· ξένος ἐστίν, ὁ πάσης ἰδίων, καὶ ἀλλοτρίων σχέσεως φυγάς [3]. Λουκ. δ'. 24. Ματθ ιγ' 57.

δ'. Μὴ ἀνάμενε ἐπὶ τὴν ξενιτείαν ἐπειγόμενος, ἢ τὴν μονίαν, τὰς φιλοκόσμους ψυχάς· διότι ὁ κλέπτης ἀνυπονόητος· πολλοὶ γὰρ συσσῶσαι ῥαθύμους καὶ ὀκνηροὺς πειραθέντες, συναπώλοντο τούτοις τοῦ πυρὸς τῆς ψυχῆς τῷ χρόνῳ ἀποσβεσθέντος [4]. Δε-

(1) Τρυφῆς μὲν ἀπέχεσθαι, διὰ τὴν φιλαυτίαν, καὶ φιλοϋλίαν, καὶ γαστριμαργίαν, καὶ τῶν ἐκ τούτων προσγινομένων παθῶν· πονηρίας δέ, διὰ τὰς μέμψεις, καὶ ἀδολεσχίας, καὶ ὑπερηφανίας.

(2) Τοῖς μὲν νήφουσι καὶ σπουδάζουσιν ἀποτελεῖν τὰς ἐντολάς, σωτηρίας πρόξενος ὁ λιμήν, ἤτοι τὸ Κοινόβιον· τοῖς δὲ ῥαθύμοις καὶ ἀμελέσι, κινδύνων.

(3) Ἤγουν συγγενῶν, κτημάτων, χρημάτων, βρωμάτων, θελημάτων, παθῶν, μετεωρισμῶν, τόπων, δόξης, καὶ λοιπῶν τῶν ἐμποδιζόντων ἡμῖν πρὸς τὸν τῆς εὐσεβείας σκοπόν.

(1) Ὅταν γὰρ ὁ ξενιτεύων ἄρξηται ἀνακαλύπτειν εὐγένειαν, καὶ παῤῥησιάζεσθαι, τιμήν τε ἐπιζητεῖν, καὶ ὑπερηφανεύεσθαι, ἡ τοιαύτη ξενιτεία οὐ καλή.

(2) Διὰ τοῦ πάντων χωρισμοῦ τὰ ἔνοικά τις διώκει πάθη, καὶ τηνικαῦτα γίνεται Θεοῦ ἀχώριστος· τῶν δὲ παθῶν συμπαρόντων, οὐ πολλὴ ἡ τῆς ξενιτείας ὠφέλεια.

(3) Ἰδίων, τῶν θελημάτων φησί, καὶ τῶν κατὰ σάρκα διαφερόντων· ἀλλοτρίων δέ, τῶν ἐκτός· ἤγουν χρημάτων, καὶ κτημάτων· ἀφ' ὧν τις ἀλλοτριωθείς, καὶ φυγών, εὔλογον καὶ λελογισμένην τὴν πρὸς σωτηρίαν φέρουσαν ὁδὸν ὁδεύει.

(4) Τὰς ἐπὶ τῇ ὑπερθέσει κακίζει προθεσμίας, τὰς ναρκώσας πρὸς τὰ καλὰ τὰς κινήσεις.

ξάμενος φλόγα, τρέχε· οὐ γὰρ γινώσκεις πότε σβέννυται, καὶ ἐν σκοτίᾳ σε καταλείψει.

ε'. Ἄλλους μὲν σῶσαι, οὐ πάντες ἀπαιτούμεθα· φησὶ γὰρ ὁ θεῖος Ἀπόστολος· «ἄρα οὖν ἕκαστος ἡμῶν, ἀδελφοί, περὶ ἑαυτοῦ δώσει λόγον τῷ Θεῷ»· καὶ πάλιν· «ὁ διδάσκων ἕτερον, φησί, σεαυτὸν οὐ διδάσκεις;» ἑαυτοὺς δὲ πάντες πάντως.

*Πρὸς Ῥωμ. ιδ'. 12. Αὐτόθι β'. 21.*

ϛ'. Ξενιτεύων, ἀσφαλίζου τὸν γυρευτὴν καὶ φιλήδονον δαίμονα· ἡ γὰρ ξενιτεία ἀφορμὴν αὐτῷ δίδωσι.

ζ'. Καλὴ ἡ ἀπροσπάθεια· ταύτης δέ, ξενιτεία μήτηρ.

η'. Ὁ ξενιτεύσας διὰ τὸν Κύριον, οὐκέτι σχέσεις ἔσχηκεν· ἵνα μὴ φανῇ διὰ πάθη πλαζόμενος [1]. Ὁ κόσμου ξενιτεύων, μηκέτι κόσμου προσψαύσῃ· πεφύκασι γὰρ τὰ πάθη φιλεπίστροφα εἶναι.

θ'. Ἐξορίζεται Εὔα ἀκουσίως τοῦ Παραδείσου ποτέ, καὶ μοναχὸς ἑκουσίως τῆς ἑαυτοῦ πατρίδος· ἡ μὲν γὰρ πάλιν τοῦ ξύλου τῆς παρακοῆς ἐπιθυμεῖν ἔμελλεν· ὁ δὲ κίνδυνον ἐκ τῶν κατὰ σάρκα συγγενῶν πάντως ἂν καθ' ἑκάστην ὑφίστατο.

ι'. Ἀπόφευγε ὡς ἀπὸ μάστιγος τοὺς τῶν πτωμάτων τόπους· καρποῦ γὰρ μὴ παρόντος, οὐ συχνῶς ὀρεγόμεθα.

ια'. Μηδὲ οὗτος ὁ τρόπος καὶ δόλος τῶν κλεπτῶν λανθανέτω σε· ὑποβάλλουσι γὰρ ἡμῖν τῶν κοσμικῶν μὴ χωρίζεσθαι, πολὺν τὸν μισθὸν λέγοντες ἡμᾶς κομίζεσθαι, εἴπερ ὁρῶντες τὸ θῆλυ, κρατήσωμεν ἑαυτῶν· οἷς τισιν οὐ πείθεσθαι δεῖ· μᾶλλον δὲ τοὐναντίον ποιεῖν.

ιβ'. Ὅταν, τῶν οἰκείων ἡμῶν ἐπὶ χρόνον, ἢ χρόνους ἀναχωρήσαντες, μικράν τινα εὐλάβειαν, ἢ κατάνυξιν, ἢ ἐγκράτειαν ἑαυτοῖς περιποιησώμεθα, τότε λοιπὸν οἱ λογισμοὶ τῆς ματαιότητος ἐπιστάντες [1], πορεύεσθαι πάλιν ἡμῖν ὑποβάλλουσιν ἐπὶ τὴν οἰκείαν πατρίδα, εἰς οἰκοδομὴν πολλῶν, φησί, καὶ τύπον, καὶ ὠφέλειαν τῶν τὰς πράξεις ἡμῶν τὰς ἀθεμίτους εἰδότων· εἰ δὲ καὶ λόγου, καὶ ψιλῆς γνώσεως εὐποροῦντες τυγχάνομεν, τότε λοιπὸν ὡς σωτῆρας ψυχῶν, καὶ διδασκάλους, εἰς τὸν κόσμον ἡμᾶς ὑποστρέψαι παρασκευάζουσιν· ἵνα τὰ ἐν τῷ λιμένι συναχθέντα καλῶς, ἐν τῷ πελάγει σκορπίσωσι.

ιγ'. Μὴ τὴν γυναῖκα, ἀλλ' αὐτὸν τὸν Λὼτ μιμεῖσθαι σπουδάσωμεν· ψυχὴ γὰρ στραφεῖσα ὅθεν ἐξῆλθεν, ὡς τὸ ἅλας μωρανθήσεται, καὶ ἀκίνητος μενεῖ τοῦ λοιποῦ. *Γένεσις ιθ'.*

ιδ'. Φεῦγε Αἴγυπτον ἀμεταστρεπτί· αἱ γὰρ στραφεῖσαι καρδίαι ἐκεῖ, τὴν γῆν τῆς ἀπαθείας Ἱερουσαλὴμ οὐκ ἐθεάσαντο [2].

ιε'. Ἔστιν ἐν προοιμίοις διὰ τὸ νηπιῶδες ἀπολιπόντας τὰ οἰκεῖα, καὶ τελείως καθαρθέντας, πρὸς αὐτὰ συμφερόντως ὑποστραφῆναι, ἴσως σκοπῷ τοῦ μετὰ τὸ σωθῆναι σῶσαί τινας· καίπερ ἐκ Θεοῦ Μωϋσῆς ἐκεῖνος ὁ θεόπτης ἐπὶ σωτηρίᾳ τοῦ ὁμοφύλου γένους ἀποσταλείς, πόλλοὺς ἐν Αἰγύπτῳ τοὺς κινδύνους, ἤγουν ἐν τῷ κόσμῳ τοὺς σκοτασμοὺς ἔσχηκε.

(1) Ὁ γὰρ διὰ τὸν Θεὸν τὴν ξενιτείαν καταδεχόμενος, οὐκ ἔχει σχέσεις πρός τι τῶν ἐν τῷδε τῷ βίῳ· μήπως φανῇ οὐ διὰ Θεόν, ἀλλὰ διὰ πάθη, ἤγουν ἢ γαστριμαργίαν, ἢ φιλαργυρίαν, ἢ ἔπαινον καὶ δόξαν γυρεύων, καὶ πλαζόμενος.

(1) Ματαιότητος λογισμοὺς τοὺς τῆς οἰήσεως λέγει· οἵτινες φιλενδείκτους, καὶ φιλοδόξους ἀποκαθιστῶσι τοὺς κεκτημένους αὐτούς· τὸ γὰρ οἴεσθαι εἶναί τι, τὸ ἀληθῶς εἶναι οὐκ ἐᾷ· ματαιότης οὖν ἀνυπαρξία καὶ ἔστι, καὶ λέγεται.

(2) Ὅρα πῶς οὐ πρὸς τὰ πράγματα γέγονεν ἡ ἐπιστροφή, ἀλλὰ πρὸς τοὺς λόγους τῶν πραγμάτων ἡ ἔννοια προσεπέλασε μόνον· διὸ καὶ κατακέκρινται· οὐ γὰρ εἰς Αἴγυπτον, ἀλλ' ἐν τοῖς περὶ Αἴγυπτον τόποις ὁ νοῦς τοῦ λαοῦ καταβέβηκεν. Οὕτω καὶ σύ, μοναχέ, μὴ νομίζῃς ὅτι ξενιτεύεις, καὶ ἐν ὄρει ἢ μοναστηρίῳ κάθῃ, καὶ ἐᾷς ἀκωλύτως πλανᾶσθαι τὴν ἔννοιαν, καὶ τὸν νοῦν συμπλέκεσθαι τοῖς ἀνωφελέσι τοῦ βίου πράγμασι, καὶ ταῖς ἡδοναῖς, καὶ τῇ προσπαθείᾳ τοῦ κόσμου· ἀλλ' ἀνακάλει σεαυτὸν εἰς τὴν μνήμην τοῦ Θεοῦ.



ιϛ'. Καλὸν λυπῆσαι γονεῖς, καὶ μὴ Κύριον· ὁ μὲν γὰρ ἔπλασέ τε, καὶ ἔσωσεν· οἱ δὲ πολλάκις οὓς ἠγάπησαν ἀπώλεσαν, καὶ τῇ κολάσει παρέδωκαν.

ιζ'. Ξένος ἐκεῖνός ἐστιν, ὁ ὡς ἀλλόγλωσσος ἐν ἑτερογλώσσοις ἐν γνώσει καθήμενος [1].

ιη'. Οὐ μισοῦντες ἡμεῖς τοὺς οἰκείους ἑαυτῶν, ἢ τοὺς τόπους ἀναχωροῦμεν· μὴ γένοιτο· ἀλλὰ τὴν ἐξ αὐτῶν ἡμῖν προσγινομένην βλάβην ἐκφεύγοντες.

ιθ'. Ὡς ἐν πᾶσι τοῖς ἄλλοις, κἂν τούτῳ γέγονεν ἡμῖν ὁ Κύριος διδάσκαλος· φαίνεται γὰρ καὶ αὐτὸς τοὺς γονεῖς κατὰ σάρκα πολλάκις καταλιπών· καὶ παρά τινων ἀκούσας, «Ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ζητοῦσί σε», εὐθέως ὁ καλὸς ἡμῶν διδάσκαλος τὸ ἀπαθὲς ὑπέδειξεν ἡμῖν μῖσος, εἰπών· «μήτηρ »μου καὶ ἀδελφοί μου εἰσίν, οἱ ποιοῦντες τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς». *Ματθ. ιβ'. 47.*

κ'. Ἔστω σοι πατήρ, ὁ πρὸς τὸ φορτίον τῶν ἁμαρτημάτων συγκοπιάσαι δυνάμενος, καὶ βουλόμενος· μήτηρ δὲ ἡ κατάνυξις, ἡ ἀποπλῦναί σε τοῦ ῥύπου ἰσχύουσα· ἀδελφὸς δέ, ὁ πρὸς τὸν δρόμον τὸν ἄνω συμπονῶν, καὶ συναμιλλώμενος· κτῆσαι σύμβιον ἀναπόσπαστον, μνήμην θανάτου· τέκνα δέ σου φίλτατα ἔστωσαν, στεναγμοὶ καρδίας· δοῦλον κτῆσαι, σὸν σῶμα· φίλους δέ, τὰς ἁγίας δυνάμεις, αἵτινες ἐν καιρῷ ἐξόδου ὠφελῆσαί σε δύνανται, ἐὰν φίλοι σου γένωνται· «αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον». *Ψαλμ. κγ'.*

κα'. Πόθος Θεοῦ, ἀπέσβεσε πόθον γονέων· ὁ δὲ λέγων ἀμφότερα ἔχειν, πεπλάνηκεν ἑαυτόν, ἀκούων τοῦ λέγοντος· «οὐδεὶς δύναται »δυσὶ κυρίοις δουλεύειν», καὶ τὰ ἑξῆς. *Ματθ. ϛ'. 24.*

κβ'. Οὐκ ἦλθον, φησὶν ὁ Κύριος, βαλεῖν εἰρήνην ἐπὶ τῆς γῆς, καὶ ἀγάπην γονέων πρὸς υἱούς, καὶ ἀδελφῶν πρὸς ἀδελφοὺς δουλεῦσαί μοι προαιρουμένους· ἀλλὰ μάχην, καὶ μάχαιραν· τουτέστι διχάσαι φιλοθέους ἐκ φιλοκόσμων, ὑλικούς, ἐξ ἀΰλων, φιλοδόξους ἐκ ταπεινοφρόνων· εὐφραίνεται γὰρ ὁ Κύριος ἐπ' ἀμφιβολίᾳ, καὶ χωρισμῷ, διὰ τὴν πρὸς αὐτὸν ἀγάπην γινομένῳ. *Ματθ ι'. 34.*

κγ'. Ὅρα, ὅρα [1], μή πως ὑδάτων τὰ πάντα συμπεπληρωμένα φανῇ σοι, τὴν προσπάθειαν τῶν οἰκείων ἀγαπῶντι, καὶ τῷ κατακλυσμῷ τῆς φιλοκοσμίας συναπέλθῃς. Μὴ οἰκτειρήσῃς γονέων, ἢ φίλων δάκρυα· εἰ δὲ μή, αἰωνίως μέλλεις δακρύειν.

κδ'. Ὁπόταν σε περικυκλῶσιν ὥσπερ μέλισσαι, μᾶλλον δὲ σφῆκες, θρῆνον οἱ ἴδιοι ποιούμενοι ἐπὶ σοί, συντόμως πρὸς τὸν σὸν θάνατον, καὶ τὰς πράξεις τὸ τῆς ψυχῆς ὄμμα ἀμεταστρέπτως ἀτένισον, ἵνα πόνῳ πόνον δυνηθῇς ἀποπέμψασθαι.

κε'. Ὑπισχνοῦνται δολίως ἡμῖν οἱ ἡμῶν, καὶ οὐχ ἡμῶν [2], πάντα τὰ φίλα διαπράττεσθαι· σκοπὸς δὲ τούτοις τῷ ἀρίστῳ ἡμῶν ἐμποδίσαι δρόμῳ, εἶθ' οὕτω λοιπὸν πρὸς τὸν οἰκεῖον σκοπὸν ἡμᾶς ἐπισπάσασθαι.

κϛ'. Ἡ τῶν τόπων ἡμῶν ἀναχώρησις ἔστω πρὸς τὰ ἀπαρακλητότερα, καὶ ἀκενοδοξότερα καὶ ταπεινότερα μέρη· εἰ δὲ μή, μετὰ πάθους πετόμεθα.

κζ'. Ἀπόκρυπτε εὐγένειαν καὶ εὐδοξίαν ἀναπομπεύειν· μήπως εὑρεθῇς ἑτέρως μὲν ἐν τῷ στόματι, ἑτέρως δὲ ἐν τοῖς πράγμασι διακείμενος [3].

(1) Ξένος ἐστὶν ἐκεῖνος, ὁ ἐν τοῖς ὁμογλώσσοις καθήμενος, ὥσπερ δηλονότι κάθηται ὁ ἀλλόγλωσσος, ἤγουν ὁ ἄλλην καὶ οὐ τὴν αὐτὴν γλῶσσαν ἔχων καὶ φωνήν, μεθ' ἑτερογλώσσου, καὶ οὐχ ὁμογλώσσου· κάθηται δὲ ἐν αἰσθήσει· ὅπερ ἐστί, τὸ μὴ ἑαυτὸν κρίνειν ἄξιον τοῦ λέγειν καὶ συνομιλεῖν τισι καὶ ταῦτα πατράσιν ὑψηλοῖς.

(1) Ἐπαναλήψεως ὁ τρόπος ἐπιτάσεως χάριν· ἀκριβῶς γὰρ προμαρτύρεται.

(2) Ἡμῶν μέν εἰσιν οἱ κατὰ σάρκα γονεῖς, διὰ τὴν συγγένειαν τῆς φύσεως· οὐχ ἡμῶν δέ, διὰ τὴν γνώμην, καθὸ οὐ συμπράττουσι τῷ θεοσεβεῖ ἡμῶν σκοπῷ.

(3) Ἤτοι, μὴ τῷ μὲν ἔξωθεν σχήματι μοναχικὴν ταπείνωσιν διὰ τὴν ξενιτείαν ἐπιδείκνυσθαι, τῇ δὲ ἀληθείᾳ κενοδοξίαν.

κη'. Οὐδεὶς τοσοῦτον τῇ ξενιτείᾳ ἐκδέδωκεν ἑαυτὸν ὡς ἔτυχεν, ὡς ὁ μέγας ἐκεῖνος, ὁ ἀκηκοὼς· «ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς
Γεν. ιβ'. συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου»· καί περ εἰς ἀλλόγλωσσον, καὶ βαρβαρώδη γῆν προσκαλούμενος.

κθ'. Ἔστιν ὅτε κατὰ τὸν μέγαν τοῦτον τινὰ ξενιτεύσαντα ἐπὶ πλεῖον ὁ Κύριος ἐδόξασε· πλὴν, εἰ καὶ ἡ δόξα θεόσδοτος, καλὸν αὐτὴν διὰ θυρεοῦ ταπεινώσεως ἀποσρέφεσθαι.

λ'. Ὁπηνίκα οἱ δαίμονες ὡς ἐπὶ μεγάλῳ κατορθώματι τῇ ξενιτείᾳ ἐπαινῶσιν ἡμᾶς, ἢ καὶ ἄνθρωποι, τότε ἡμεῖς τοῦ δι' ἡμᾶς ἐκ τοῦ οὐρανοῦ εἰς τὴν γῆν ξενιτεύσαντος ἀναλάβωμεν ἔννοιαν, καὶ εὑρήσομεν ἑαυτοὺς εἰς αἰῶνα αἰῶνος ἀναπληροῦν μὴ ἰσχύοντας.

λα'. Χαλεπὴ ἡ πρός τινα τῶν οἰκείων, ἢ καὶ ξένων προσπάθεια, δυναμένη κατὰ μικρὸν ἐπὶ τὸν κόσμον ἡμᾶς ἐπισπάσασθαι, καὶ τὸ πῦρ τῆς κατανύξεως ἡμῶν ἀποσβέσαι τελείως.

λβ'. Ὡς ἀμήχανον ἐνὶ μὲν ὀφθαλμῷ εἰς τὸν οὐρανόν, ἐνὶ δὲ εἰς τὴν γῆν νεύειν, οὕτως ἀδύνατον μὴ κινδυνεῦσαι κατὰ ψυχήν, τὸν μὴ τελείως πάντων τῶν οἰκείων καὶ ἀνοικείων ἑαυτὸν τῷ λογισμῷ καὶ τῷ σώματι ξενιτεύσαντα.

λγ'. Κόπῳ πολλῷ, καὶ μόχθῳ κατορθοῦται ἐν ἡμῖν ἦθος χρηστόν, καὶ εὐκατάστατον· καὶ τὸ πολλῷ μόχθῳ κατορθούμενον δυνατὸν ἐν μιᾷ καιροῦ ῥοπῇ ἀπολέσθαι· φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί, κοσμικαί τε ὁμοῦ καὶ ἄκοσμοι [1].

λδ'. Ὁ τοῖς κατὰ κόσμον μετὰ τὴν ἀποταγὴν συναναστρεφόμενος, ἢ πλησίον τυγχάνων, πάντως ἢ τοῖς αὐτῶν περιπεσεῖται βρόχοις, ἢ τὴν καρδίαν ἐν τῇ περὶ τούτων ἐννοίᾳ μολυνεῖ· ἢ μὴ μολυνόμενος, τοὺς μολυνομένους κατακρίνων, καὶ αὐτὸς μολυνθήσεται.

### Περὶ ἐνυπνίων ἐπακολουθούντων εἰσαγωγικοῖς.

ΟΤΙ μὲν ὁ τῆς ἡμετέρας γνώσεως νοῦς ἀτελὴς ὅλως καὶ πάσης ἀγνοίας ἀνάπλεως, κρύπτειν οὐ δυνατόν· λάρυγξ μὲν γὰρ βρώματα διακρίνει, ἀκοὴ δὲ νοήματα· καὶ ἀσθένειαν μὲν ὀμμάτων ἐδήλωσεν ἥλιος, ἀγνωσίαν δὲ ψυχῆς ἤλεγξε ῥήματα· πλὴν ὁ τῆς ἀγάπης νόμος καὶ πρὸς τὰ ὑπὲρ δύναμιν ἐκβιαστής· οὐκοῦν οἶμαι, (οὐδὲ γὰρ ὁρίζομαι), ἀκόλουθον μετὰ τοὺς τῆς ξενιτείας λόγους, μᾶλλον δὲ ἐν αὐτοῖς μικρὰ περὶ τῶν ὀνείρων ἐντάξαι, ὅσον μηδὲ τούτου τοῦ δόλου τῶν δολίων ἀμυήτους ὑπάρχειν ἡμᾶς.

λς'. Ἐνύπνιόν ἐστι κίνησις νοὸς ἐν ἀκινησίᾳ σώματος [2].

λζ'. Φαντασία ἐστὶν ἀπάτη ὀφθαλμῶν

(1) Κοσμικὰς ὁμιλίας εἶπε, τὰς ἐκ τοῦ κόσμου· ἀκόσμους δὲ αὐτὰς εἶπε, διὰ τὸ αἰσχρὰς εἶναι καὶ βλαβερὰς τοῖς φυγοῦσι τὸν κόσμον.

(2) Ὁράματος καὶ ἐνυπνίου διαφορὰν οὕτω νοήσεις· ὅραμά ἐστι, τὸ ὡς ἐν αἰσθήσει σχεδὸν καθ' ὕπαρ ὁρώμενον· ἐνύπνιον δέ, τὸ καθ' ὕπνους φανταζόμενον. Ἀκινησίαν οὖν ἐνταῦθα τὴν ἠρεμίαν φησί· ἐξαχῶς γὰρ τῆς κινήσεως λαμβανομένης, ἤγουν γένους, φθορᾶς, αὐξήσεως, ἀλλοιώσεως, μειώσεως, καὶ τόπων μεταβολῆς, κατ' οὐδὲν τούτων τὸ σῶμα φαίνεται ὑστερούμενον· ἠρεμεῖ δὲ μᾶλλον ὑπνῶττον, καὶ κινητὸν ὄν, ἔστιν ἀκίνητον· τὸ μὲν πεφυκός, τὸ δὲ πεπονθός.



ἐν κοιμωμένῃ διανοίᾳ· φαντασία ἐστὶν ἔκστασις νοός, ἐγρηγορότος τοῦ σώματος. Φαντασία ἐστὶν ἀνυπόστατος θεωρία.

λη'. Ἡ αἰτία δι' ἣν μετὰ τὴν προλαβοῦσαν τάξιν περὶ ὀνείρων λέγειν ἠβουλήθημεν, πρόδηλος· ὅταν καταλείψαντες διὰ τὸν Κύριον τοὺς ἑαυτῶν οἴκους, καὶ οἰκείους, ξενιτείᾳ δι' ἀγάπην Χριστοῦ πωλήσωμεν ἑαυτούς, τότε λοιπὸν οἱ δαίμονες δι' ἐνυπνίων θορυβεῖν δοκιμάζουσιν ἡμᾶς, τοὺς οἰκείους ἡμῖν ὑποδεικνύντες ἢ κοπτομένους, ἢ θνήσκοντας, ἢ ὑπὲρ ἡμῶν κατεχομένους, καὶ πενομένους· ὁ τοίνυν ὀνείροις πιστεύων ὅμοιός ἐστι τῷ τὴν σκιὰν αὐτοῦ κατατρέχοντι καὶ ταύτην κατέχειν πειρωμένῳ.

λθ'. Δαίμονες κενοδοξίας καθ' ὕπνους προφῆται· τὰ μέλλοντα ὡς πανοῦργοι τεκμαιρόμενοι, καὶ ταῦτα ἡμῖν προευαγγελιζόμενοι· τῶν ὁραμάτων πληρουμένων, ἡμεῖς ἐθαμβήθημεν· καὶ ὡς πλησίον τοῦ προγνωστικοῦ λοιπὸν ὑπάρχοντες χαρίσματος, τὸν λογισμὸν ἀνυψώσαμεν.

μ'. Ἐν τοῖς πειθομένοις τῷ δαίμονι τούτῳ πολλάκις προφήτης ἐγένετο· πρὸς δὲ τοὺς ἐξουθενοῦντας αὐτὸν ἀεὶ ἐψεύσατο· πνεῦμα γὰρ ὤν, τὰ ἐντὸς τοῦ ἀέρος τούτου ἑώρακε· καὶ νοήσας τινὰ θνήσκοντα, δι' ἐνυπνίων ἐν τοῖς κουφοτέροις προεφήτευσεν.

μα'. Οὐδὲν τῶν μελλόντων ἐκ προγνώσεως οἱ δαίμονες οἴδασιν· ἐπεὶ καὶ οἱ φαρμακοί, καὶ τὸν θάνατον ἂν ἡμῖν προλέγειν ἠδύναντο.

μβ'. Εἰς Ἄγγελον φωτός, καὶ Μαρτύρων εἶδος πολλάκις μετασχηματίζονται, καὶ ἡμῖν προσερχομένους αὐτοὺς καθ' ὕπνους ὑπέδειξαν· διυπνισθέντας, οἰήσει καὶ χαρᾷ κατεβάπτισαν.

μγ'. Τοῦτο δέ σοι ἔσω σημεῖον τῆς πλάνης· κολάσεις, καὶ κρίσεις, καὶ χωρισμοὺς ὑποδεικνύουσιν Ἄγγελοι· διυπνισθέντας, ἐντρόμους καὶ σκυθρωποὺς ἀπεργάζονται.

μδ'. Ὁπόταν ἐν ὕπνῳ τοῖς δαίμοσιν ἀρξώμεθα πείθεσθαι, τότε λοιπὸν καὶ ἐγρηγορότες ἐμπαιζόμεθα παρ' αὐτῶν. Ὁ ἐνυπνίοις πεισθείς, εἰσάπαν ἀδόκιμος· ὁ δὲ πᾶσιν ἀπιστῶν οὗτος φιλόσοφος.

με'. Πᾶσι τοῖς κόλασίν σοι καὶ κρίσιν εὐαγγελιζομένοις πίστευε μόνοις· εἰ δὲ ἀπόγνωσίς σοι διενοχλεῖ, καὶ ταῦτα ἐκ δαιμόνων.

Ὁ τρίτος Τριάδος ἰσάριθμος δρόμος· ὁ ἐπιβεβηκώς, μὴ περιβλέψῃ δεξιά, ἢ ἀριστερά.

## ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

### Περὶ τῆς μακαρίας καὶ ἀειμνήστου ὑπακοῆς.

ΠΡΟΣ τοὺς πύκτας[1] ἡμῖν λοιπὸν καὶ τοῦ Χριστοῦ ἀθλητὰς προϊὼν ὁ λόγος εὐθέτως κατήντησε· παντὸς μὲν γὰρ καρποῦ προηγεῖται ἄνθος, πάσης δὲ ὑπακοῆς ξενιτεία· ἢ σώματος ἢ θελήματος· ἐν ταῖς δυσὶ γὰρ ταύταις ἀρεταῖς, ὥσπερ ἐν χρυσαῖς πτέρυξι πρὸς τὸν οὐρανὸν ἀόκνως ἀνέρχεται ἡ ὁσία· καὶ ἴσως περὶ αὐ-
*Ψαλμ. νδ'.* τῆς πνευματοδόχος τις ἐμελῴδησε· «Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι διὰ πρακτικῆς, καὶ καταπαύσω διὰ θεωρίας καὶ ταπεινώσεως;»

β'. Μηδ' αὐτὸ τὸ σχῆμα τῶν ἀνδρείων τούτων πολεμιστῶν, εἰ δοκεῖ, παρίδωμεν κατάδηλον τῷ λόγῳ ποιήσασθαι· ὅπως τε τὸν θυρεὸν κατέχουσι τῆς πρὸς τὸν Θεόν, καὶ τὸν γυμναστὴν πίστεως, δι' αὐτοῦ, ὡς εἰπεῖν, πάντα λογισμὸν ἀπιςίας ἢ μεταβάσεως ἀπωθούμενοι· καὶ τὴν μάχαιραν τοῦ Πνεύματος ἀνατείνουσι διηνεκῶς, ἅπαν ἑαυτῶν θέλημα πλησιάζον αὐτοῖς ἀποκτείνοντες· θώρακάς τε σιδηροῦς ὑπομονῆς, καὶ πρᾳότητος ἠμφιεσμένοι, πᾶσαν ὕβριν, καὶ κέντησιν, καὶ βολίδα λόγου δι' αὐτῶν ἀποκρούονται· ἔχουσι δὲ καὶ περικεφαλαίαν σωτηρίου, τὴν τοῦ προεστῶτος δι' εὐχῆς σκέπην· ἵστανται δὲ οὐ σύμποδες[2]· ἀλλὰ τὸν μὲν εἰς διακονίαν προτείνοντες, τὸν δὲ ἐπὶ προσευχὴν (α) ἀκίνητον ἔχοντες.

(α) 'Ε ἄλλ. προσευχαῖς

γ'. Ὑπακοή ἐστιν, ἄρνησις ψυχῆς οἰκείας παντελής, διὰ σώματος ἐπιδεικνυμένη ἐναργῶς[1]· ἢ τάχα τὸ ἔμπαλιν· ὑπακοή ἐστι, νέκρωσις μελῶν, ἐν ζώσῃ διανοίᾳ. Ὑπακοή ἐστιν, ἀνεξέταςος κίνησις, ἑκούσιος θάνατος, ἀπερίεργος ζωή, ἀμέριμνος κίνδυνος[2], ἀμελέτητος Θεοῦ ἀπολογία, ἀφοβία θανάτου, ἀκίνδυνος πλοῦς, ὑπνοῦσα ὁδοιπορία[3].

δ'. Ὑπακοή ἐστι, μνῆμα θελήσεως, καὶ ἔγερσις ταπεινώσεως· οὐκ ἀντείπῃ, ἢ διακρινεῖ νεκρὸς ἐν ἀγαθοῖς, ἢ τὸ δοκεῖν πονηροῖς· ὁ γὰρ θανατώσας αὐτοῦ εὐσεβῶς τὴν ψυχήν, ὑπὲρ πάντων ἀπολογήσεται[4]. Ὑπακοή ἐςιν, ἀπόθεσις διακρίσεως ἐν πλούτῳ διακρίσεως[5].

(1) Ἤτοι πρὸς τοὺς ἀγωνιστὰς καὶ στρατιώτας τοῦ Χριστοῦ, τοὺς πολεμοῦντας κατὰ τῶν δαιμόνων· πάντες γὰρ οἱ ἀρχαῖοι τοὺς πολεμιστὰς πύκτας ἐκάλουν, διὰ τὸ μετὰ τῶν πυγμῶν, ἤτοι τῶν γρόνθων τῶν χειρῶν ἐξιέναι αὐτοὺς εἰς πόλεμον καὶ μονομαχεῖν.

(2) Ἤγουν, οὐκ ἔχουσι τοὺς πόδας αὐτῶν κεκολλημένους· ἀλλὰ τὸν μὲν ἕτοιμον πρὸς διακονίαν, τὸν δὲ ἀμετακίνητον ἐπὶ προσευχὴν ἔχοντες.

(1) Ἄρνησιν ψυχῆς λέγει, τὸ ἀφεῖναί τινα τὰ φυσικὰ αὐτοῦ θελήματα κατὰ τό· «Εἴτις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν», καὶ τὰ ἑξῆς· τὰ γὰρ παρὰ φύσιν, εἰ καὶ ἀφήσει τις οὐδὲν ἀφῆκε διὰ τὸν Θεόν οὐδὲ γὰρ αὐτοῦ εἰσιν· ὁ δὲ τὰ φυσικὰ αὐτοῦ ἀφεὶς οὗτος ἑαυτὸν ἠρνήσατο.

(2) Ἀμέριμνον κίνδυνόν φησιν οὐ τὸν ψυχικόν, ἀλλὰ τὸν σωματικόν, ὃν ὑφίσταται ὁ ὑπακούων ἐκ συμβεβηκότος, ἢ θαλάσσῃ πλέων, ἢ λῃσταῖς περιπεσών, καὶ οὕτως ἀποθνήσκων ὅν τινα θάνατον οὐ μεριμνᾷ ὁ ἀληθινὸς ὑπήκοος, καλῶς εἰδώς, ὅτι εἰς μαρτύριον αὐτῷ ἔσται ὁ συμβεβηκὼς κίνδυνος, τὴν ὑπακοὴν ἀδιακρίτως ἐπιτελοῦντι.

(3) Ἤτοι δρόμος πρὸς ἀρετὴν ἄπονος, καὶ ἄμοχθος, πλήρης ἀνέσεως· ὁ γὰρ ἐκδοὺς ἑαυτὸν τῷ προεστῶτι, καὶ τὴν ψυχὴν αὐτῷ παραθέμενος, πάσης λοιπὸν μερίμνης καὶ φροντίδος ἀπήλλακται καὶ οἷον ὑπνοῖ.

(4) Ἤτοι ὁ προεστώς· οὗτος γὰρ τὸ τοῦ ὑπηκόου ἀναδεξάμενος θέλημα, καὶ οἷον ἀθέλητον καὶ νεκρὰν τὴν ἐκείνου ἀποδείξας ψυχήν, αὐτὸς ὑπὲρ αὐτοῦ ἀπολογήσεται.

(5) Ἀπόθεσις διακρίσεώς ἐστι, τὸ ὑπακούειν ὡς καλοῖς τοῖς φαινομένοις ὡς κακοῖς· ὡς Ἀβραὰμ κελευσθεὶς σφάξαι τὸν υἱόν, ἐπλούτει ἀδιακρίτως τὴν ἐξ ἀρχῆς στοιχειωθεῖσαν ὑπακοήν.



ε'. Ἀρχὴ μὲν νεκρώσεως καὶ μέλους σώματος, καὶ ψυχῆς θελήματος, πόνος· μεσότης δέ, ποτὲ μὲν πόνος, ποτὲ δὲ ἀπονία· τέλος δέ, ἀκινησία λοιπὸν καὶ ἀναισθησία πόνου. Τότε πονῶν ὁρᾶται μόνον καὶ ἀλγυνόμενος ὁ ζῶν νεκρὸς οὗτος ὁ μακαρίτης, ὁπόταν ἑαυτὸν ἴδῃ τὸ οἰκεῖον ποιοῦντα θέλημα, δεδοικὼς τὸ βάρος τοῦ ἰδίου κρίματος.

ς'. Ὅσοι πρὸς τὸ στάδιον τῆς νοερᾶς ὁμολογίας ἐπεχειρήσατε ἀποδύσασθαι[1]· ὅσοι τὸν τοῦ Χριστοῦ ζυγὸν ἐπὶ τὸν οἰκεῖον αὐχένα βούλεσθε ἆραι· ὅσοι τὸ ἑαυτῶν φορτίον ἐπὶ τὸν τοῦ ἑτέρου τράχηλον ἐπιθεῖναι σπουδάζετε· ὅσοι τὰς ἑαυτῶν ὠνὰς ἑκουσίως σπεύδετε γράψαι, καὶ ἀντ' ἐκείνων ἐλευθερίαν γραφῆναι ἡμῖν βούλεσθε· ὅσοι χερσὶν ἑτέρων ἀνυψούμενοι, καὶ νηχόμενοι, τὸ μέγα τοῦτο περαιοῦσθε πέλαγος, γνῶτε, ὡς σύντομόν τινα, καὶ τραχεῖαν ὁδὸν βαδίζειν ἐπεχειρήσατε, μίαν καὶ μόνην πλάνην ἐν ἑαυτῇ κεκτημένην· αὕτη καλεῖται ἰδιοῤῥυθμία· ὁ γὰρ ταύτην εἰσάπαν ἀπαρνησάμενος ἐν οἷς δοκεῖ καλοῖς, καὶ πνευματικοῖς, καὶ θεαρέστοις, πρὸ τοῦ βαδίσαι ἔφθασεν[2]· ὑπακοὴ γάρ ἐστιν, ἀπιστεῖν ἑαυτῷ ἐν τοῖς καλοῖς ἅπασι μέχρι τέλους ζωῆς.

ζ'. Μέλλοντες ἐν Κυρίῳ τὸν ἑαυτῶν αὐχένα κλίνειν καὶ πιστεύειν ἑτέρῳ, σκοπῷ ταπεινοφροσύνης, καὶ κυρίου σωτηρίας, πρὸ μὲν τῆς εἰσόδου, εἴπερ τις πονηρία καὶ φρόνησις παρ' ἡμῖν τυγχάνει, τὸν κυβερνήτην ἐξετάσωμεν, καὶ ἀνακρίνωμεν, καὶ ἵν' οὕτως εἴπω, πειράσωμεν· ἵνα μὴ τῷ ναύτῃ ὡς κυβερνήτῃ, καὶ τῷ νοσοῦντι ὡς ἰατρῷ, καὶ τῷ ἐμπαθεῖ ὡς ἀπαθεῖ, καὶ τῷ πελάγει ὡς λιμένι περιπεσόντες, ἕτοιμον ἑαυτοῖς ναυάγιον προξενήσωμεν· μετὰ δὲ τὴν ἐν τῷ σταδίῳ λοιπὸν τῆς εὐσεβείας καὶ ὑποταγῆς εἴσοδον, μηκέτι τὸν καλὸν ἡμῶν ἀγωνοθέτην ἔν τινι τὸ σύνολον ἀνακρίνωμεν, κἄν τινα ἐν αὐτῷ ὡς ἀνθρώπῳ ἴσως ἔτι βραχέα πλημμελήματα θεασώμεθα· εἰ δὲ μή, οὐδὲν ἐκ τῆς ὑποταγῆς οἱ ἀνακρίνοντες ὠφελούμεθα[1].

η'. Ἀνάγκη πᾶσα τοὺς βουλομένους πίστιν ἀδίστακτον ἔχειν διαπαντὸς εἰς τοὺς ἐπιστατοῦντας, τὰ τούτων κατορθώματα τηρεῖν ἐν τῇ ἑαυτῶν καρδίᾳ ἀείμνηστα, καὶ ἀνεξάλειπτα· ἵν' ὅταν οἱ δαίμονες ἀπιστίαν πρὸς αὐτοὺς ἐπισπείρωσιν, ἐκ τῶν ἐν αὐτοῖς μνημονευομένων, ἀποφιμώσωσιν αὐτούς· καθ' ὅσον γὰρ ἡ πίστις θάλλει ἐν τῇ καρδίᾳ, κατὰ τοσοῦτον καὶ τὸ σῶμα σπεύδει ἐν τῇ διακονίᾳ· ἐπὰν δὲ εἰς ἀπιστίαν προσκόψῃ, ἔπεσε· «πᾶν γάρ, ὃ οὐκ ἐκ πίστεως, ἁμαρ- *Πρὸς Ῥωμ. ιδ'.26.*
τία ἐστίν».

θ'. Ἐπάν σε ὁ λογισμὸς ἀνακρῖναι, ἢ κατακρῖναι τὸν προηγούμενον ὑποβάλλῃ, ὡς ἀπὸ πορνείας ἀποπήδησον· μηδόλως τῷ ὄφει τούτῳ ἄδειαν παράσχῃς· μὴ τόπον, μὴ εἴσοδον, μὴ ἀρχήν· φθέγγου δὲ πρὸς τὸν δράκοντα· ὦ ἀπατεών, οὐκ ἐγὼ τοῦ ἄρχοντος, ἀλλ' αὐτὸς τὸ ἐμὸν κρίμα ἀνεδέξατο· οὐκ ἐγὼ ἐκείνου, ἀλλ' αὐτὸς ἐμοῦ κατέςη κριτής.

ι'. Ὅπλον μὲν οἱ πατέρες τὴν ψαλμῳ-

(1) Στάδιον νοερᾶς ὁμολογίας, ἡ ἐπὶ τὸ αὐτὸ κατοίκησις τῶν ἀδελφῶν ἐστι, κατὰ τὸν μέγαν Βασίλειον, λέγοντα· «στάδιον ἀθλήσεως, καὶ προκοπῆς εὐωδία, καὶ διηνεκὴς γυμνασία, καὶ μελέτη τῶν ἐντολῶν τοῦ Κυρίου, ἡ ἐπὶ τὸ αὐτὸ κατοίκησίς ἐστι τῶν ἀδελφῶν».

(2) Ὁ τὴν ἰδιοῤῥυθμίαν ἀποκρουσάμενος ὑπήκοος, καὶ προσανέχων τῷ διδασκάλῳ, ἤδη ἐστὶν ἐν τοῖς τῶν τελείων ἔργοις, κἂν μήπω δι' αὐτῶν ὥδευσεν. Ἐπειδὴ γὰρ εἴωθεν ὁ πονηρὸς ἐνοχλεῖν τοῖς ἐν ὑπακοῇ, καὶ ἐξουθενεῖν τὸν κόπον αὐτῶν, ὡς μήτε νηστείαν, μήτε ἄσκησιν ἐχόντων ἀκριβῆ, μήτε προσευχὴν καθαράν, μήτε τὰ ἄλλα, ἅ ἐστι τοῖς ἡσυχάζουσι, λέγει ὁ Πατήρ, ὅτι οὐδέν εἰσι ταῦτα πρὸς τὴν ἀληθινὴν ὑπακοήν· τὸν γὰρ τόπον αὐτῶν αὕτη ἀναπληροῖ, καὶ πρὸ τοῦ ἐλθεῖν τὸν ὑπήκοον δι' αὐτῶν, ἐν μέσοις αὐτοῖς εἶναι παρασκευάζει.

(1) Ὁ γὰρ ἀνακρίνων καὶ ἀκριβολογῶν, καταγινώσκει, ὁ δὲ καταγινώσκων, ἀθετεῖ· εἶτα καὶ ἀπειθεῖ· ἢ κἂν μὴ ἀπειθῇ, ἀλλ' οὐ μετὰ πίστεως τὸ ἐπιταχθὲν ἀνύει· «πᾶν δέ, ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστι κατὰ τὸν Ἀπόστολον.

δίαν, τὴν δὲ προσευχὴν τεῖχος· λουτῆρα δέ, τὸ ἄμωμον δάκρυον εἶναι ὁρίζονται· τὴν δὲ μακαρίαν ὑπακοήν, ὁμολογίαν ἔκριναν [1]· ἧς χωρίς, οὐδεὶς τῶν ἐμπαθῶν τὸν Κύριον ὄψεται [2].

ια'. Ὁ ὑποτακτικὸς αὐτὸς καθ' ἑαυτοῦ τὴν ψῆφον ἐκφέρει· εἰ μὲν γὰρ διὰ Κύριον ὑπακούει τελείως, εἰ καὶ μὴ δόξῃ τελείως, τὸ ἑαυτοῦ κρίμα ἐξεδύσατο· εἰ δὲ τὸ ἑαυτοῦ ἔν τισιν ἐκπληροῖ θέλημα, εἰ καὶ δόξει ὑπακούειν, αὐτὸς τὸ φορτίον ἐπιφέρεται [3]· εἰ μέν τοι αὐτὸν ἐλέγχων ὁ προεστὼς οὐκ ἐπαύσατο, εὖ ἂν ἔχοι· εἰ δὲ σεσιώπηκε, τί λέγειν οὐκ ἔχω [4].

ιβ'. Οἱ ἐν ἁπλότητι ὑποτασσόμενοι ἐν Κυρίῳ, καλὸν δρόμον περαιοῦνται, μὴ κεκινηκότες ἑαυτοῖς δι' ἀκριβολογίας τὴν τῶν δαιμόνων πανουργίαν [5].

ιγ'. Πρὸ πάντων ἐξομολογησώμεθα τῷ καλῷ ἡμῶν δικαστῇ καὶ μόνῳ· εἰ δὲ κελεύει, καὶ πᾶσι· μώλωπες γὰρ θριαμβευόμενοι, οὐ προκόψουσιν ἐπὶ τὸ χεῖρον, ἀλλ' ἰαθήσονται.

ιδ'. Φοβερόν που παραγενόμενος ἐν Κοινοβίῳ καλοῦ κριτοῦ καὶ ποιμένος ἑώρακα δικαστήριον· ἐκεῖσε γάρ μου ὑπάρχοντος, ἔτυχέ τινα ἐκ λῃστρικῆς τάξεως τῇ μοναδικῇ προσελθεῖν πολιτείᾳ· ὃν ὁ ἄριστος ἐκεῖνος ἰατρὸς καὶ ποιμὴν ἐκέλευσεν ἐπὶ ἡμέρας ἑπτὰ πάσης ἀναπαύσεως ἀπολαῦσαι, πρὸς θεωρίαν μόνην τῆς ἐν τῷ τόπῳ καταστάσεως· μετὰ δὲ τὴν ἑβδόμην [1] προσκαλεσάμενος αὐτὸν κατ' ἰδίαν ὁ ποιμήν, ἠρώτα· εἰ ἄρα ἀρεστὸν αὐτῷ τὴν συνοίκησιν ποιήσασθαι μετ' αὐτῶν; ὡς δὲ συνθέμενον αὐτὸν μετὰ πάσης εἰλικρινείας ἐθεάσατο, πάλιν ἠρώτα· τί ἄτοπον αὐτῷ ἐν τῷ κόσμῳ πέπρακται; ὡς οὖν εἶδεν αὐτὸν σὺν τῷ λόγῳ πάντα προθύμως ἐξομολογησάμενον, πάλιν πρὸς αὐτὸν πειράζων ἔλεγε· βούλομαί σε, φησίν, ἐπὶ πάσης τῆς ἀδελφότητος ταῦτα θριαμβεῦσαι· ὁ δὲ ὄντως τὴν ἑαυτοῦ ἁμαρτίαν μισήσας ἐκεῖνος, αἰσχύνης ἁπάσης καταφρονήσας, ἀδιστάκτως ὑπέσχετο· καὶ εἰ βούλει, φησί, κατὰ τὴν μέσην Ἀλεξάνδρου τῆς πόλεως.

Εἶτα συναθροίζει ὁ ποιμὴν ἐν τῷ Κυριακῷ πάντα τὰ λογικὰ αὐτοῦ πρόβατα, τὸν ἀριθμὸν διακόσια τριάκοντα· καὶ τῆς θείας συνάξεως τελουμένης, (ἦν γὰρ Κυριακὴ τῶν ἡμερῶν,) μετὰ τὴν συμπλήρωσιν τοῦ Εὐαγγελίου εἰσφέρει λοιπὸν τὸν ἄμεμπτον ἐκεῖνον

(1) Οὐ μόνον γὰρ οἱ διὰ τὴν εἰς Χριστὸν πίστιν δεξάμενοι τὸν θάνατον μάρτυρές εἰσιν, ἀλλὰ καὶ οἱ διὰ τὴν τῶν ἐντολῶν αὐτοῦ τήρησιν ἀποθνήσκοντες.

(2) Ζητητέον, πῶς χωρὶς ὑποταγῆς οὐδεὶς ὄψεται τὸν Θεόν; τί γάρ; ἡ Αἰγυπτία Μαρία, καὶ ἄλλοι τινὲς μὴ ὑποταγέντες τινὶ οὐκ ὄψονται τὸν Κύριον; λεγομεν οὖν, ὅτι οὐ περὶ τῆς σωματικῆς ὑποταγῆς μόνης λέγει, ἀλλὰ καὶ περὶ τῆς ψυχικῆς· οὐδένα γὰρ εὕρομεν τῶν Ἁγίων, ὃς οὐχ ὑπέταξε τὸ σῶμα τῷ πνεύματι· ὥστε δῆλον, ὅτι ὁ μὴ τὴν ψυχικὴν μετὰ τῆς σωματικῆς ἔχων, οὐκ ὄψεται τὸν Κύριον. Πολλοὶ γὰρ σωματικῶς πατράσιν ὑποτασσόμενοι, ταῖς ἡδοναῖς τὴν ψυχὴν κατεδούλωσαν, οὐδὲν δὲ ἀπὸ τῆς τοιαύτης ὑποταγῆς ὠφελήθησαν· χρὴ τοίνυν μετὰ τῆς σωματικῆς, καὶ τὴν ψυχικὴν ὑποταγὴν κτήσασθαι, ἵνα ἀπαθεῖς γένωνται· μένοντες δὲ ἐμπαθεῖς, οὐκ ὄψονται τὸν Κύριον.

(3) Ὁ καθαρῷ συνειδότι τὴν ὑπακοὴν μετερχόμενος, καὶ μηδὲν πράττων κατὰ τὸ ἴδιον θέλημα, εἰ καὶ κατὰ ἄγνοιαν, ἢ λήθην ἐλλείψει τι τῶν δεόντων, καὶ διὰ τοῦτο οὐ δοκεῖ τελείως ὑπακούειν τοῖς τὰ ἐκτὸς ἁπλῶς βλέπουσιν, ὅμως παρὰ τῷ Θεῷ ὁ τοιοῦτος οὐ κατακρίνεται· εἰ δὲ πρὸς τὸ οἰκεῖον θέλημα σπουδάζει λαμβάνειν τὰ ἐπιτάγματα, πράττειν τε αὐτὰ κατ' ἰδίαν ἀρέσκειαν, εἰ καὶ δόξει παρὰ ἀνθρώποις τελείως ὑπακούειν, ἀλλ' οὖν γε παρὰ Θεῷ ὡς αὐτάρεσκος κατακέκριται.

(4) Διὰ τῆς ἀπορίας «οὐκ ἔχω τί λέγειν», κοινὴν ποιεῖται τὴν παρέκπτωσιν τοῦ τε ἀνυποτάκτου μαθητοῦ, καὶ τοῦ μὴ ἐλέγχοντος Πατρός· ἐμφαίνων διὰ τούτου καὶ τὸν προεστῶτα εἶναι ὑπεύθυνον· ὁ γὰρ παρασιωπῶν τῷ ὑπηκόῳ τὰ πταίσματα, ὡς αὐτὸς πράξας κατακριθήσεται.

(5) Οὐ δίδοται χώρα τῷ εὐγνώμονι ὑπηκόῳ λογοπραγεῖν τὰς πράξεις τοῦ Ποιμένος· ἐπεὶ οἱ δαίμονες εἰς διακρίσεις λογισμῶν ῥέμβοντες τὴν διάνοιαν, ἐν σκολιότητι διαπεραίνειν τὴν ἁπλῆν ὁδὸν τῆς ὑπακοῆς πανούργως οἱ κακοὶ ὑποβάλλουσι.

(1) Διὰ τοῦτο μετὰ τὴν ἑβδόμην, καὶ οὐχὶ ἐντὸς τῶν ἑπτὰ ἐρωτᾶται, ὅτι πᾶσαν αὐτοῦ τὴν ἐν τοῖς κακοῖς ζωὴν διὰ τῆς ἑβδόμης περάνας, εἰς ἄμειψιν κατήντησεν ἑτέρου βίου, τὰ κατ' ἀξίαν τῶν πεπραγμένων ἀντιλαμβάνων, καὶ πρὸ αἰσχύνης τῆς ἐν τῇ ὀγδόῃ, ἤγουν τῷ μέλλοντι αἰῶνι, ἐν τῷ παρόντι βίῳ αἰσχύνην ὑφιστάμενος, καὶ μένων εἰς τὸ ἑξῆς ἀνεπαίσχυντος.



κατάδικον, ὑπό τινων ἀδελφῶν συρόμενον, καὶ μετρίως τυπτόμενον, τὰς χεῖράς τε δεδεμένον ὄπισθεν, καὶ σάκκον τρίχινον ἠμφιεσμένον, καὶ σποδὸν ἐπὶ τῆς κεφαλῆς ἔχοντα· ὡς καὶ ἐξ αὐτῆς τῆς θεωρίας ἅπαντας καταπλαγέντας, ἐν κλαυθμῷ εὐθέως ἀλαλάξαι· οὐ γὰρ ἔγνω τις τὸ γινόμενον· εἶτα ὡς πλησίον τῶν τῆς ἐκκλησίας πυλῶν ἔφθασε, προσφωνεῖ αὐτῷ ἡ ἱερὰ ἐκείνη κεφαλὴ τοῦ φιλανθρώπου κριτοῦ μεγάλῃ τῇ φωνῇ· στῆθι· ἀνάξιος γὰρ ὑπάρχεις τῆς ἐνταῦθα εἰσόδου.

Ἐκπλαγεὶς οὖν ἐπὶ τῇ τοῦ Ποιμένος ἐκ τοῦ ἱερατείου πρὸς αὐτὸν ἐνεχθείσῃ φωνῇ, (ἐνόμιζε γάρ, ὡς ἔσχατον ἡμᾶς ὅρκοις ἐπληροφόρει οὐκ ἀνθρώπου φωνοῦντος, ἀλλὰ βροντῆς ἀκηκοέναι·) πίπτει μὲν εὐθέως ἐπὶ πρόσωπον ἔντρομος γενόμενος, καὶ ὅλως τῷ φόβῳ κλονηθείς· χαμαὶ δὲ κείμενος, καὶ τὸ ἔδαφος τοῖς δάκρυσι βρέχων, ἐπιτρέπεται πάλιν παρὰ τοῦ θαυμασίου ἰατροῦ, τοῦ τὴν σωτηρίαν αὐτοῦ ἐν ἅπασι πραγματευομένου, καὶ τύπον σωτηρίας, καὶ ἐναργοῦς ταπεινώσεως πᾶσι παρέχοντος, εἰπεῖν πάντα τὰ πεπραγμένα αὐτῷ κατ' εἶδος ἐπὶ πάντων· ὁ δὲ μετὰ φρίκης πάντα καθ' ἓν ἐξωμολογεῖτο τὰ πᾶσαν ἀκοὴν ξενίζοντα· οὐ μόνον σωματικὰ παρὰ φύσιν, καὶ κατὰ φύσιν, ἔν τε λογικοῖς ζώοις, καὶ ἀλόγοις, ἀλλά γε καὶ ἄχρι φαρμακειῶν, καὶ φόνων, καὶ ἑτέρων, ὧν οὐ θέμις ἀκοῦσαι, ἢ γραφῇ παραδοῦναι· ἐξομολογησάμενον τοίνυν ἐπιτρέπει εὐθέως ἀποκαρῆναί τε, καὶ τοῖς ἀδελφοῖς συναριθμηθῆναι.

ιε'. Ἐγὼ δὲ τὴν τοῦ ὁσίου ἐκείνου θαυμάσας σοφίαν, ἠρώτων ἰδίᾳ τίνος χάριν τὸ τοιοῦτον ξένον σχῆμα πεποίηκεν; [1] ὁ δὲ ὄντως ἰατρός, δύο τούτων χάριν, φησί· πρῶτον μέν, ἵνα τὸν ἐξομολογησάμενον, διὰ τῆς παρούσης αἰσχύνης, τῆς μελλούσης ἀπαλλάξω· ὅπερ καὶ γέγονεν· οὐ γὰρ ἀνέστη τοῦ ἐδάφους, ὦ ἀδελφὲ Ἰωάννη, ἄχρις οὗ τῆς πάντων ἀφέσεως ἔτυχε· καὶ μὴ ἀπίστει· τῶν γὰρ ἐκεῖσε τυγχανόντων τις ἀδελφός μοι τεθάῤῥηκε, λέγων· ὅτι φοβερόν τινα ἑώρων κατέχοντα χάρτην γεγραμμένον, καὶ κάλαμον· καὶ ὅτε, φησί, τὴν ἁμαρτίαν ὁ κείμενος ἔλεγε, ταύτην ἐκεῖνος τῷ καλάμῳ ἐχάραττε· καὶ εἰκότως· «Εἶπα γάρ, φησίν, ἐξαγορεύσω Ψαλμ. λά.
κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου»· δεύτερον δέ, ἐπειδὴ κέκτημαί τινας ἀνεξαγόρευτα πταίσματα ἔχοντας, διὰ τούτου λοιπὸν κἀκείνους προτρέπομαι εἰς ἐξομολόγησιν, ἧς χωρίς, οὐδεὶς ἀφέσεως τεύξεται.

ις'. Καὶ ἕτερα μὲν οὖν ἀξιοθαύμαστα, καὶ ἀξιομνημόνευτα παρὰ τῷ ἀειμνήστῳ ἐκείνῳ ποιμένι, καὶ ποιμνίῳ ἑώρακα, ὧν τὰ πλεῖστα ὑμῖν κατάδηλα ποιῆσαι πειράσομαι· ἔμεινα γὰρ παρ' αὐτοῖς χρόνον οὐκ ὀλίγον, τὴν αὐτῶν ἀνιχνεύων πολιτείαν, καὶ ἐπὶ ταύτῃ μεγάλως ἐξιστάμενος, πῶς οἱ ἐπίγειοι ἐκεῖνοι τοὺς οὐρανίους ἐμιμοῦντο· ἀγάπης μὲν παρ' αὐτοῖς ἐδέδετο δεσμὸς ἄλυτος, καὶ τὸ δὴ θαυμαστότερον, πάσης παῤῥησίας καὶ ἀργολογίας ἀπηλλαγμένος· ἤσκουν δὲ πρὸ πάντων τοῦτο, τὸ μὴ πλῆξαι ἀδελφοῦ συνείδησιν ἔν τινι [1]· εἰ δὲ πού τις ἐφάνη μισάλληλος, τοῦτον ὁ ποιμὴν ἐν τῷ ἀφωρισμένῳ μοναστηρίῳ ἐξώριζεν ὡς κατάκριτον. Ποτὲ δέ τινά τῶν ἀδελφῶν λοιδορήσαντα τὸν πλησίον πρὸς αὐτόν, παραυτίκα διωχθῆναι προσέταξεν ὁ πανόσιος λέγων, μὴ συγχωρεῖν ἐν τῇ μονῇ ὁρατὸν εἶναι διάβολον καὶ ἀόρατον.

Εἶδον ἐγὼ παρὰ τοῖς ὁσίοις ἐκείνοις ὀνησιφόρα ὄντως, καὶ ἀξιάγαστα πράγματα·

(1) Ξένον μέν ἐστι, καὶ τὸ τέως ἄγνωστον διὰ τὸ ἀσύνηθες· ἔστι δὲ ξένον, καὶ τὸ θαύματος ἄξιον· ξένον δὲ σχῆμά ἐστι τὸ παραδόξως μέν, προσφάτως δὲ τελεσθέν.

(1) Διὰ πολλῶν ἐπιτηδευμάτων πλήττεται ἡ συνείδησις ἀδελφοῦ τινος· ὑπερφρονήσει· παραλογισμῷ· ἐξουδενώσει· μνησικακίᾳ, καὶ τοῖς ἐξ αὐτῶν τικτομένοις.

ἀδελφότητα κατὰ Κύριον συνειλεγμένην, καὶ συνδεδεμένην, θαυμαστὴν κεκτημένην καὶ τὴν ἐργασίαν, καὶ τὴν θεωρίαν· οὕτω γὰρ ἑαυτοὺς τοῖς θείοις ἐξέτριβον καὶ ἐγύμναζον κατορθώμασιν, ὡς μὴ δεῖσθαι σχεδὸν τῆς τοῦ προεστηκότος ὑπομνήσεως· ἀλλ' ἰδιαιτέρως ἀλλήλους πρὸς τὴν θείαν διυπνίζειν ἐγρήγορσιν· ἦν γὰρ αὐτοῖς ὡρισμένα τε, καὶ μεμελετημένα, καὶ πεπαγιωμένα ὅσιά τινα, καὶ θεῖα γυμνάσματα· εἰ γὰρ ἐγένετό ποτέ τινα ἐξ αὐτῶν, τοῦ προεστῶτος μὴ παρόντος, λοιδορίας, ἢ κατακρίσεως, ἢ ὅλως ἀργολογίας ἄρξασθαι, νεύματι αὐτὸν ἀγνώστῳ λεληθότως ἕτερος ἀδελφὸς ὑπομιμνήσκων κατέπαυεν· εἰ δὲ ἴσως οὐκ ᾔσθετο, βάλλων λοιπὸν μετάνοιαν ὁ ὑπομνήσας, ἀνεχώρει. Ἦν δὲ αὐτοῖς ἄληκτος, εἰ δέοι τι φθέγξασθαι, καὶ ἄπαυστος συλλαλιά, ἡ τοῦ θανάτου ἀνάμνησις, καὶ κρίσεως τῆς αἰωνίου ἔννοια.

ιζ'. Οὐ σιωπήσω πρὸς ἡμᾶς τοῦ ὀψοποιοῦ τῶν ἐκεῖ τὸ παράδοξον τοῦτο κατόρθωμα· ὁρῶν γὰρ αὐτὸν ἀένναον ἐν τῇ διακονίᾳ κεκτημένον τὴν σύννοιαν, καὶ τὸ δάκρυον, ἱκέτευον ἀπαγγεῖλαί μοι πόθεν τῆς τοιαύτης χάριτος ἠξιώθη. Ὁ δὲ βιασθεὶς παρ' ἐμοῦ, ἀπεκρίνατο· οὐδέποτε ἀνθρώποις δουλεύειν ἐννενόηκα· ἀλλὰ τῷ Θεῷ· καὶ τῆς ἡσυχίας ἁπάσης ἑαυτὸν ἀνάξιον κρίνας, αὐτὴν τὴν τοῦ πυρὸς θέαν ὑπόμνησιν τῆς μελλούσης φλογὸς διὰ παντὸς κέκτημαι.

ιη'. Ἄλλου παραδόξου αὐτῶν ἀκούσωμεν κατορθώματος· καὶ γὰρ οὐδὲ ἐπ' αὐτῆς τῆς τραπέζης τῆς νοερᾶς ἐργασίας ἐπαύοντο· σεσημειωμένῳ δὲ ἤθει τινὶ ἀγνώστῳ, καὶ νεύματι τῆς κατὰ ψυχὴν προσευχῆς ἑαυτοὺς ὑπεμίμνησκον οἱ μακάριοι. Οὐκ ἐν τῇ τραπέζῃ δὲ μόνον τοῦτο ποιοῦντες ἐφαίνοντο, ἀλλὰ καὶ κατὰ πᾶσαν αὐτῶν ἀπαντήν τε καὶ σύνοδον. Εἴ ποτε δέ τις αὐτῶν παράπτωμά τι ἐποίησε, πλείστας ἱκεσίας παρὰ τῶν ἀδελφῶν ἐδέχετο, αὐτοῖς περὶ τούτου πρὸς τὸν Ποιμένα καταλιπεῖν τὴν φροντίδα καὶ ἀπολογίαν, καὶ τὴν παρ' αὐτοῦ ἐπίπληξιν δέξασθαι· ὅθεν ὁ μέγας τὴν τῶν μαθητῶν ἐπιγνοὺς ἐργασίαν, κουφοτέρας λοιπὸν καὶ τὰς ἐπιτιμήσεις παρεῖχεν, ὡς γινώσκων ἀνεύθυνον ὑπάρχειν τὸν ἐπιτιμώμενον· οὐ μέντοι καὶ ἐζήτει τὸν κυρίως ὑποπεσόντα τῷ πταίσματι.

Ποῦ ποτε παρ' αὐτοῖς ἐπολιτεύετο ἀργολογίας, ἢ εὐτραπελίας μνήμη; εἰ δέ ποτέ τις τῶν ἐν αὐτοῖς ἀμφιβολίας πρὸς τὸν πλησίον ἤρξατο, παριὼν ἕτερος, καὶ μετάνοιαν πεποιηκώς, τὴν ὀργὴν διεσκέδαζεν· εἰ δὲ μνησικακοῦντας ᾔσθετο, τῷ τὰ δεύτερα τοῦ προεστῶτος διέποντι εὐθέως ἀπήγγελλε, καὶ πρὸ ἡλίου δύσεως διαλλάττεσθαι ἀλλήλοις αὐτοὺς παρεσκεύαζεν· εἰ δὲ σκληρυνόμενοι ἐσκληρύνοντο, ἢ μὴ μεταλαμβάνειν τροφῆς ἄχρι τῆς διαλλαγῆς ἐπετιμῶντο, ἢ τῆς μονῆς ἐξωθοῦντο.

Ἦν δὲ ἡ ἀξιέπαινος αὕτη ἀκρίβεια παρ' αὐτοῖς οὐ μάτην ἐπιτελουμένη· ἀλλά γε τὸν καρπὸν πολὺν ποιοῦσα καὶ ἐμφανίζουσα· πολλοὶ γὰρ παρὰ τοῖς ὁσίοις ἐκείνοις ἐδείχθησαν πρακτικοί, καὶ διορατικοί, διακριτικοί τε καὶ ταπεινόφρονες· καὶ ἦν ἰδεῖν ἐν τούτοις φοβερόν τε καὶ ἀγγελοπρεπὲς θέαμα· πολλοὺς αἰδεσίμους καὶ ἱεροπρεπεῖς, δίκην νηπίων τῇ ὑπακοῇ περιτρέχοντας, καὶ καύχημα μέγιστον κεκτημένους τὴν ἰδίαν ταπείνωσιν.

ιθ'. Ἑώρακα ἐκεῖσε ἄνδρας περὶ τὰ πεντήκοντα ἔτη ἐν τῇ ὑπακοῇ ἔχοντας, οὓς ἱκέτευον μαθεῖν τίνα ἐκ τοῦ τοσούτου κόπου παραμυθίαν εὗρον· ὧν οἱ μέν, εἰς ἄβυσσον ταπεινοφροσύνης κατηντηκέναι λοιπὸν ἔφασκον, δι' ἧς πάντα πόλεμον ἀεὶ διακρούονται· οἱ δέ, τελείαν ἀναισθησίαν καὶ ἀπονίαν ἐν λοιδορίαις καὶ ὕβρεσιν ἔλεγον ἔχειν.

Ἑώρακα ἑτέρους τῶν ἀειμνήστων ἐκείνων μετὰ ἀγγελοειδοῦς πολιᾶς βαθυτάτην ἀκακίαν, καὶ ἁπλότητα σεσοφισμένην, καὶ ἑκουσιόγνωμον, καὶ θεοκατόρθωτον ἐληλακότας· οὐκ ἄλογόν τινα καὶ ἄσοφον, κατὰ τοὺς ἐν κόσμῳ γηραιούς, οὓς καὶ λεληρηκότας φιλοῦσι καλεῖν· ἀλλ' ἔξωθεν μὲν ἠπίους ὅλους, προσηνεῖς, φαιδρούς, ἄπλαστον ἔχοντας, καὶ ἀνεπιτήδευτον, καὶ ἀνόθευτον καὶ τὸν λόγον, καὶ τὸ ἦθος· πρᾶγμα οὐκ ἐν πολλοῖς εὑρισκόμενον· ἔσωθεν δὲ τῇ ψυχῇ τὸν Θεὸν αὐτόν, καὶ τὸν προεστῶτα ὡς ἀκέραια νήπια ἀναπνέοντας, καὶ ἰταμόν, καὶ στερέμνιον τὸ τοῦ νοὸς ὄμμα πρὸς τοὺς δαίμονας καὶ τὰ πάθη κεκτημένους.

κ'. Ἐπιλείψει με, ὦ ἱερὰ κεφαλή, καὶ θεοφιλὴς συνάθροισις, ὁ τῆς ζωῆς μου χρόνος, τὴν ἐκείνων τῶν μακαρίων διηγούμενον ἀρετήν, καὶ οὐρανομίμητον βίωσιν· ἀλλ' ὅμως ἄμεινον ἐκ τῶν ἐκείνοις πεπονημένων ἱδρώτων τὸν ἡμέτερον ἐγκαλλωπίσαι πρὸς ὑμᾶς λόγον, καὶ πρὸς ζῆλον θεοφιλῆ διεγεῖραι ὑμᾶς, ἤπερ ἐξ οἰκείων καὶ εὐτελῶν παραινέσεων· «χωρὶς γὰρ πάσης ἀντιλογίας
Ἑβραί ζ'. 7. τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος κατακοσμεῖται»· ἐκεῖνο δὲ ἐρωτῶ, μηδὲν ἡμᾶς πεπλασμένον γράφειν ὑπονοῆσαι· ἔθος γὰρ τῇ ἀπιστίᾳ τὴν ὠφέλειαν λυμαίνεσθαι.

κα'. Πάλιν δὲ τῶν προειρημένων ἐχώμεθα. Ἀνήρ τις Ἰσίδωρος τοὔνομα, ἐξ ἀρχοντικῆς ἀξίας Ἀλεξάνδρου τῆς πόλεως, ἐν τῷ εἰρημένῳ Κοινοβίῳ πρὸ τούτων τῶν χρόνων ἀπετάξατο, ὃν κἀγὼ ἐκεῖσε κατέλαβον· τοῦτον δεξάμενος ὁ πανόσιος ἐκεῖνος ποιμήν, κακεντρεχῆ τε καὶ πάνυ ὠμόν, δεινόν τε καὶ ἀγέρωχον θεασάμενος [1], σοφίζεται ὁ πάνσοφος δαιμόνων πανουργίαν νικῆσαι δι' ἀνθρωπίνης ἐπινοίας· καί φησι πρὸς τὸν Ἰσίδωρον· εἰ ἄρα ἆραι τὸν τοῦ Χριστοῦ ζυγὸν προῄρησαι, ὑπακοήν σε ἀσκεῖν πρὸ πάντων βούλομαι· ὁ δὲ ἀπεκρίνατο· ὡς σίδηρος χαλκεῖ, οὕτω κἀγώ, ἁγιώτατε, ὑποτάσσεσθαι ἐμαυτὸν ἐκδίδωμι. Ὁ δὲ μέγας καὶ ἐπ' αὐτῷ τῷ παραδείγματι [1] θεραπευθείς, δίδωσιν εὐθέως τὸ γυμνάσιον τῷ σιδηρῷ Ἰσιδώρῳ, καί φησιν· βούλομαί σε φύσει, ἀδελφέ, ἐν τῷ πυλῶνι τῆς μονῆς παρίστασθαι, καὶ πάσῃ ψυχῇ εἰσιούσῃ τε καὶ ἐξιούσῃ ποιεῖν γονυκλισίαν, λέγοντα· εὖξαι ὑπὲρ ἐμοῦ, πάτερ, ὅτι ἐπιληπτικός εἰμι· ὑπήκουσε δὲ οὕτως, ὡς Ἄγγελος Κυρίῳ.

Ἑπταετίαν οὖν αὐτοῦ ἐκεῖσε πεποιηκότος, καὶ εἰς βαθυτάτην ταπείνωσιν καὶ κατάνυξιν ἐληλακότος, ἠβουλήθη ὁ ἀοίδιμος μετὰ τὴν νομικὴν ἑπταετίαν [2], καὶ τὴν τοῦ ἀνδρὸς ἀνείκαστον ὑπομονὴν τοῦτον ὡς ὑπεράξιον τοῖς ἀδελφοῖς συναριθμῆσαι, καὶ χειροτονίας ἀξιῶσαι· ὁ δὲ πλείστας καὶ δι' ἑτέρων, καὶ δι' ἐμοῦ τοῦ εὐτελοῦς ἱκεσίας πρὸς τὸν ποιμένα ἐποιήσατο, ἐκεῖσε αὐτὸν ἀφεῖναι ὡσαύτως διάγοντα τελειῶσαι τὸν δρόμον· αἰνιξάμενος, καὶ ἀμυδρῶς πως ἐμφήνας διὰ τοῦ λόγου τὸ τέλος ἤδη, καὶ τὴν ἑαυτοῦ πλησιάζουσαν κλῆσιν· ὅπερ καὶ γέγονεν· ἐάσαντος γὰρ αὐτὸν τοῦ διδασκάλου ἐν τῇ τοιαύτῃ τάξει, μετὰ δεκάτην ἡμέραν πρὸς Κύριον δι' ἀδοξίας ἐνδόξως ἐξεδήμησε, τῇ ἑβδόμῃ αὐτοῦ ἡμέρᾳ τῆς κοιμήσεως καὶ τὸν θυρωρὸν τῆς μονῆς προσλαβόμενος· ἦν γὰρ αὐτῷ εἰρηκὼς ὁ μακάριος, ὅτι περ ἐὰν τύχω παῤ-

(1) Ἐνταῦθα μὲν ὁ πάμμεγας οὗτος Πατὴρ καὶ ἡ συνήθεια ἐπὶ ψόγου τὴν λέξιν τάσσει· τοὺς γὰρ αὐθάδεις, καὶ ἀπαιδεύτους, καὶ θρασεῖς, καὶ ἀλαζόνας, καὶ οἰηματίας, καὶ ἐπηρμένους, ἀγερώχους λέγουσιν· ὁ δὲ Ὅμηρος, καί τινες τῶν σοφῶν, τοὺς ἄγαν ἐντίμους ἀγερώχους φασίν, ἀπὸ τοῦ ἄγαν ἐπὶ τὸ γέρας ὀχεῖσθαι.

(1) Τὸ παράδειγμα ἔστι νοῆσαι ἐκτελούμενον καὶ διὰ λόγου μόνου· τὸ δὲ ὑπόδειγμα καὶ δι' ἔργου δείκνυται.

(2) Τιμᾷ ὁ Πατὴρ τὴν νομικὴν ἑπταετίαν, λύσας τοῦ ἐπιτιμίου τὸν Ἰσίδωρον, τοῦτο παραδεικνύς, τὸ ἐπωδύνως τὴν ἐν τῷ βίῳ τούτῳ ζωὴν διέρχεσθαι πάντα ἄνθρωπον συμβαίνειν, μέχρις ἂν τῶν ὧδε ἀπαλλαγείς, πρὸς τὴν ἐκεῖθεν ἀνάπαυσιν καταντήσῃ.

ρησίας πρὸς Κύριον, ἀχώριστός μου γενήσει κἀκεῖ διὰ τάχους· ὅπερ καὶ γέγονεν, εἰς μεγίστην πληροφορίαν τῆς ἀκαταισχύντου αὐτοῦ ὑπακοῆς, καὶ ταπεινώσεως θεομιμήτου.

κβ'. Ἠρώτησα ἔτι περιόντα τὸν μέγαν τοῦτον Ἰσίδωρον ποίαν ἐργασίαν ὁ νοῦς αὐτοῦ ἐν τῷ πυλῶνι διάγοντος ἐκέκτητο; καὶ οὐκ ἔκρυψεν ὠφελῆσαί με βουλόμενος ὁ ἀοίδιμος· ἐν ἀρχαῖς μὲν γὰρ τοῦτο· φησίν· ἐλογιζόμην, ὡς ὑπὲρ τῶν ἁμαρτιῶν μου ἐπράθην· ὅθεν καὶ μετὰ πικρίας, πάσης, καὶ βίας, καὶ αἵματος τὴν μετάνοιαν ἔβαλλον· ἐνιαυτοῦ δὲ πληρωθέντος, ἀλύπως λοιπὸν διεκείμην τῇ καρδίᾳ, μισθὸν παρὰ Θεοῦ ἐκ τῆς ὑπομονῆς προσδεχόμενος· περαιωθέντος δὲ αὖθις ἑτέρου ἑνὸς χρόνου, ἀνάξιον ἑαυτὸν ἐλογιζόμην σὺν αἰσθήσει καρδίας καὶ τῆς ἐν τῇ μονῇ διατριβῆς, καὶ τῆς τῶν πατέρων θέας καὶ συντυχίας, καὶ τῆς τῶν θείων μυστηρίων μεταλήψεως, καὶ τῆς ἐν προσώπῳ τινὸς θεωρίας· κάτω δὲ νεύοντι ὄμματι, καὶ κατωτέρῳ φρονήματι τοὺς εἰσιόντας καὶ ἐξιόντας ἱκέτευον ὑπὲρ εὐχῆς.

κγ'. Ἐν τῇ τραπέζῃ ποτὲ συγκαθημένων ἡμῶν, ὁ μέγας ἐκεῖνος ἐπιστάτης πρὸς τὸ ἐμὸν οὖς τὸ ἅγιον αὐτοῦ στόμα κεκλικώς, βούλει σοι δείξω, φησίν, ἐν πολιᾷ βαθυτάτῃ θεϊκὸν φρόνημα; ἐμοῦ δὲ ἱκετεύσαντος, προσφωνεῖ ὁ δίκαιος ἐκ τῆς δευτέρας τραπέζης Λαυρέντιόν τινα τοὔνομα, περὶ τὰ τεσσαράκοντα ὀκτὼ ἔτη ἐν τῇ μονῇ ἔχοντα, καὶ δεύτερον τοῦ ἱερατείου πρεσβύτερον ὑπάρχοντα. Ἐλθὼν οὖν καὶ βαλὼν γονυκλισίαν τῷ ἡγουμένῳ, εὐλογεῖται μὲν παρ' αὐτοῦ· ἀναστάντι δὲ οὐδὲν τὸ σύνολον εἴρηκεν, ἀλλ' εἴασεν αὐτὸν πρὸ τῆς τραπέζης ἑστῶτα, καὶ μὴ ἐσθίοντα, (ἦν δὲ τοῦ ἀρίστου ἡ εἴσοδος) ὥστε ποιῆσαι περὶ ὥραν μεγάλην, ἢ καὶ δύο ἱστάμενον· ὡς ἐμὲ λοιπὸν αἰδεῖσθαι κἂν εἰς τὸ πρόσωπον τοῦ ἐργάτου ἀτενίσαι· ἦν γὰρ ὁλοπόλιος, ὀγδοηκοστὸν ἄγων χρόνον· ἀναπόκριτος δὲ ἄχρι συμπληρώσεως τῆς ἑστιάσεως διαμείνας, ἀναστάντων ἡμῶν, πέμπεται ὑπὸ τοῦ ὁσίου εἰπεῖν τῷ προμνημονευθέντι μεγάλῳ Ἰσιδώρῳ τὴν τοῦ τριακοστοῦ ἐννάτου ψαλμοῦ ἀρχήν.

Οὐ παρεῖδον δὲ ἐγὼ ὡς πονηρότατος τὸν γέροντα πειρᾶσαι· ἐρωτήσαντι γάρ μοι αὐτὸν τί ἄρα παριστάμενος ἐν τῇ τραπέζῃ ἐλογίζετο; τοῦ Χριστοῦ, ἔφη, τὴν εἰκόνα περιθέμενος τῷ ποιμένι, οὐδόλως ποτὲ ἐξ αὐτοῦ ἐπιτάττεσθαι λελόγισμαι· ἀλλ' ἐκ Θεοῦ· ὅθεν, πάτερ Ἰωάννη, οὐχ ὡς ἐνώπιον τραπέζης ἀνθρώπων, ἀλλ' ὡς ἐνώπιον θυσιαστηρίου θεοῦ ἱστάμην Θεῷ προσευχόμενος· οὐδόλως ἔννοιάν τινα πονηρὰν πρὸς τὸν ποιμένα δεξάμενος, ἐκ τῆς πρὸς αὐτόν μου πίστεως, καὶ ἀγάπης· εἴρηται γὰρ ὅτι· «ἡ ἀγάπη οὐ λογίζεται τὸ κακόν»· πλὴν κἀκεῖνο γίνωσκε, Πάτερ, ὡς ἐπάν τις εἰς ἁπλότητα καὶ ἀκακίαν ἑκούσιον ἐκδῷ ἑαυτόν, οὐκέτι τῷ πονηρῷ δίδωσι χώραν, ἢ ὥραν καθ' ἑαυτοῦ.

*Πρὸς Κορινθ. ά. ιγ'. 5.*

κδ'. Ὡς ἀληθῶς οἷος ἦν ἐκεῖνος ὁ δίκαιος, ὁ τῶν λογικῶν θρεμμάτων σωτὴρ διὰ Θεοῦ καὶ ποιμήν, τοιοῦτον ἔσχε παρὰ Θεοῦ καὶ τὸν οἰκονομοῦντα τὰ τῆς μονῆς· σώφρονα, εἰ καί τινα ἕτερον· πρᾷον, ὡς πάνυ ὀλίγοι. Τούτῳ πρὸς τὴν τῶν λοιπῶν ὠφέλειαν ἐπηνέχθη ὁ Γέρων ὁ μέγας εἰκῇ ἐπὶ τοῦ Κυριακοῦ, διωχθῆναι τοῦτον κελεύσας ἀκαίρως· ἐγὼ δὲ ἐγνωκὼς ἀθῷον αὐτὸν εἶναι ἐφ' ᾧ ἐνεκάλει ἐγκλήματι ὁ ποιμήν, κατ' ἰδίαν ὑπὲρ τοῦ οἰκονόμου πρὸς τὸν μέγαν ἐποιούμην ἀπολογίαν· ὁ δὲ σοφός, καὶ αὐτός, εἶπεν, ἔγνωκα, Πάτερ· ἀλλ' ὥσπερ ἐλεεινόν, καὶ οὐ δίκαιον ἐκ λιμώττοντος στόματος νηπίου ἄρτον ἁρπάσαι, οὕτως ἀδικεῖ καὶ ἑαυτόν, καὶ τὸν ἐργάτην ὁ ψυχῶν προεστηκώς, μὴ προξενῶν αὐτῷ στεφάνους, ὅσους εἶδεν αὐτὸν ὑπομεῖναι δυνάμενον κατὰ πᾶσαν ὥραν· εἴτε δι' ὕβρεων, εἴτε δι' ἀτιμιῶν, δι' ἐξουδενώσεών τε καὶ ἐμπαιγμῶν· τρία γὰρ μέγιστα ἀδικεῖται.

Πρῶτον μέν, στερούμενος αὐτὸς τοῦ ἐκ τῆς ἐπιτιμήσεως μισθοῦ· δεύτερον δέ, ὅτι καὶ ἄλλους ὠφελεῖν ἐκ τῆς ἑτέρου ἀρετῆς δυνάμενος, οὐκ ἐποίησε τοῦτο· τρίτον ὃ καὶ βαρύτατον, ὅτι πολλάκις καὶ αὐτοὶ οἱ δοκοῦντες εἶναι φερέπονοι, ἐπὶ χρόνον ἀμεληθέντες, καὶ ὡς δῆθεν ἐνάρετοι λοιπὸν ὑπὸ τοῦ προεστῶτος μὴ ἐλεγχόμενοι, ἢ ὀνειδιζόμενοι, τῆς προσούσης αὐτοῖς πρᾳότητος καὶ ὑπομονῆς ἐστερήθησαν· κἂν γὰρ καλή, καὶ καρποφόρος ἡ γῆ, καὶ πίων, ἀλλ' οἶδε λεῖψις ὕδατος ἀτιμίας ὑλομανοῦσαν αὐτὴν ποιεῖν, καὶ ἀκάνθας τύφου, καὶ πονηρίας, καὶ ἀφοβίας ἐν αὐτῇ ἀναβλαστάνειν. Τοῦτο γινώσκων ὁ μέγας ἐκεῖνος Ἀπόστολος, τῷ Τιμοθέῳ ἐπέστελλεν· «ἐπίστηθι· ἐπενέχθητι· ἐπίπληξον αὐτοῖς εὐκαίρως, ἀκαίρως».

*Πρὸς Τιμόθ. Β'. δ'. 2.*

Ἐμοῦ δὲ πρὸς τὸν ὁδηγὸν ὄντως ἐκεῖνον ἀντιφιλονεικοῦντος, καὶ τὴν ἀσθένειαν προβαλλομένου τῆς καθ' ἡμᾶς γενεᾶς, καὶ ὡς οἱ πολλοὶ τάχα διὰ τῆς εἰκῆ ἐπιπλήξεως, ἴσως δὲ καὶ οὐκ εἰκῆ, τῆς ποίμνης ἀποῤῥήγνυνται, πάλιν ὁ τῆς σοφίας ἔλεγεν οἶκος· ψυχὴ δεθεῖσα διὰ Χριστὸν ἀγάπῃ Ποιμένος καὶ πίστει, μέχρις αἵματος οὐκ ἀφίσταται, καὶ μάλιστα εἰ εὐεργετηθεῖσα ἐπὶ μώλωψί ποτε τύχοι παρ' αὐτοῦ, μνημονεύουσα τοῦ φάσκοντος· «οὔτε Ἄγγελοι, οὔτε Ἀρχαί, οὔτε Δυνάμεις, οὔτε τις κτίσις ἑτέρα δεδύνηται χωρίσαι ἡμᾶς ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ»· ἡ δὲ μὴ οὕτω δεθεῖσα, καὶ παγεῖσα, καὶ κολληθεῖσα, εἰ οὐκ εἰκῆ τὴν ἐν τῷ τόπῳ περαίνει διατριβήν, πάνυ θαυμάζω· ἐπιπλάστῳ γὰρ συνῆπται ὑποταγῇ. Οὐκ ἐψεύσατο δὲ ἑαυτὸν ὁ μέγας ἀληθῶς· ἀλλὰ καὶ ὡδήγηκε, καὶ τετελείωκε, καὶ προσενήνοχε Χριστῷ ἄμωμα πρόβατα.

*Πρὸς Ῥωμ. η'. 38.*

κε'. Ἀκούσωμεν σοφίαν Θεοῦ ἐν ὀστρακίνοις σκεύεσιν εὑραμένην, καὶ θαυμάσωμεν. Ἀγάμενος ἐγὼ ἐκεῖσε παρὼν τὴν τῶν νεοπαγῶν πίστιν, καὶ ὑπομονήν, καὶ ἀδάμαστον καρτερίαν ἐπὶ ταῖς τοῦ προεστῶτος ἐπιτιμίαις, καὶ ὕβρεσιν, ἔσθ' ὅτε καὶ διωγμοῖς, οὐ μόνον δὲ τοῦ προεστῶτος, ἀλλὰ καὶ τῶν λίαν ὑποβεβηκότων, ἠρώτων οἰκοδομῆς χάριν τινὰ τῶν ἀδελφῶν πεντεκαίδεκα ἔτη ἐν τῇ μονῇ ἔχοντα, ὀνόματι Ἀββάκυρον, ὃν καὶ μάλιστα σχεδὸν ὑπὸ πάντων ἀδικούμενον ἔβλεπον, ἔστι δ' ὅτε καὶ ἐκ τῆς τραπέζης ἐκ τῶν ὑπηρετῶν διωκόμενον· ἦν γὰρ πάνυ μικρὸν ἐκ φύσεως περὶ τὴν γλῶτταν ἀκρατὴς ὁ ἀδελφός.

Ἔλεγον οὖν πρὸς αὐτόν· ἀδελφὲ Ἀββάκυρε, διατί τῆς τραπέζης καθημέραν ἐλαυνόμενόν σε θεωρῶ, καὶ ἄδειπνον πολλάκις κοιμώμενον; ὁ δὲ ἀπεκρίνατο· πίστευσόν μοι, πάτερ, ὅτι δοκιμάζουσί με οἱ πατέρες μου, εἰ ποιῶ μοναχόν· ἀλλ' οὐκ ἐν ἀληθείᾳ τοῦτο ποιοῦσι· κἀγὼ γινώσκων τὸν σκοπὸν τοῦ μεγάλου, καὶ αὐτῶν, ὑπομένω πάντα ἀβαρῶς· καὶ ἰδοὺ δεκαπέντε ἔτη ἔχω τοῦτο λογιζόμενος, καθώς μοι καὶ αὐτοὶ ἐν τῇ ἐμῇ εἰσόδῳ τοῦτο ἔφησαν, ὅτι ἄχρι τῆς τριακονταετίας δοκιμάζουσι τοὺς ἀποτασσομένους· καὶ δικαίως, πάτερ Ἰωάννη· χωρὶς γὰρ δοκιμῆς ὁ χρυσὸς οὐ τελειοῦται.

Ἐπιμείνας οὖν ὁ γενναῖος οὗτος Ἀββάκυρος μετὰ τὴν ἐμὴν ἄφιξιν ἐν τῷ μοναστηρίῳ διετῆ χρόνον, πρὸς Κύριον ἐξεδήμησε, τοῦτο εἰπὼν τοῖς πατράσιν ἐν τῷ μέλλειν ἐκλείπειν· εὐχαριστῶ, εὐχαριστῶ τῷ Κυρίῳ, καὶ ὑμῖν· ὅτι διὰ τὸ πειράζεσθαί με εἰς σωτηρίαν μου ἐξ ὑμῶν, ἔμεινα ἐκ δαιμόνων ἀπείραστος ἰδοὺ δεκαεπτὰ ἔτη· ὃν καὶ ὡς ὁμολογητήν, μετὰ τῶν ἐκεῖσε κατακειμένων Ἁγίων ἀξίως ὁ δικαιοκρίτης ποιμὴν κατατεθεῖναι ἐκέλευσεν.

κς'. Ἀδικῶ πάντως τοὺς ζηλωτὰς τῶν καλῶν, εἴπερ σιωπῆς μνήματι θάψω τὸ Μα-

κεδονίου τοῦ πρώτου τῶν ἐκεῖσε διακόνων κατόρθωμά τε καὶ ἆθλον. Οὗτος ὁ μεμελημένος [1] Κυρίῳ, ποτὲ τῆς τῶν ἁγίων Θεοφανείων ἑορτῆς καταλαβούσης, λιπαρεῖ τὸν ποιμένα πρὸ δύο ἡμερῶν εἰς τὴν πόλιν Ἀλεξανδρείας ἀπελθεῖν, οἰκείας τινὸς χρείας χάριν· ὑποσχόμενος μέντοι θᾶττον ἐξέρχεσθαι τῆς πόλεως, διὰ τὴν τῆς ἑορτῆς Ἀκολουθίαν τε καὶ ἑτοιμασίαν. Ὁ οὖν μισόκαλος διάβολος ἐμπόδιον πεποιηκὼς τῷ Ἀρχιδιακόνῳ, παρεσκεύασεν αὐτὸν ἀπολυθέντα ἀπὸ τοῦ ἡγουμένου μὴ καταλαβεῖν ἐν τῇ ἁγίᾳ ἑορτῇ εἰς τὴν Μονήν, κατὰ τὸν ὅρον, ὃν ἦν ἐκ τοῦ προεστῶτος κομισάμενος· μεθ' ἡμέραν οὖν μίαν καταλαβόντα ἀφορίζει ὁ ποιμὴν τῆς διακονίας, καὶ ἐν τῇ τῶν ἐσχάτων ἀρχαρίων κατατάττει χώρᾳ· δέχεται ὁ καλὸς τῆς ὑπομονῆς διάκονος, καὶ τῆς καρτερίας ἀρχιδιάκονος τὸν τοῦ πατρὸς ὅρον, καὶ λόγον οὕτως ἀλύπως ὡς ἑτέρου ἐπιτιμηθέντος ἀλλ' οὐκ αὐτοῦ· πεποιηκότα τοίνυν αὐτὸν ἐν τῇ τοιαύτῃ τάξει τεσσαράκοντα ἡμέρας, πάλιν ἐπὶ τὸν ἴδιον βαθμὸν ἀνήγαγεν ὁ σοφός· καὶ δὴ μετὰ μίαν ἡμέραν δυσωπεῖται ὑπὸ τοῦ ἀρχιδιακόνου πάλιν ἐν τῇ αὐτῇ ἐπιτιμίᾳ, καὶ τῇ πρώην ἀτιμίᾳ καταστῆσαι αὐτόν· ἔφησε γάρ, ὅτι περ ἀσυγχώρητόν τι περὶ τὴν πόλιν ἔπταισα.

Γνοὺς δὲ ὁ ὅσιος μὴ λέγειν αὐτὸν ἀληθῆ, ἀλλὰ ταπεινώσεως χάριν τοῦτο ἐπιζητεῖν, εἶξε τῇ καλῇ ἐπιθυμίᾳ τοῦ ἐργάτου· καὶ ἦν ἰδεῖν πολιὰν αἰδέσιμον ἐν τῇ ἀρχαρικῇ διάγουσαν τάξει, καὶ πάντας δυσωποῦσαν εἰλικρινῶς ὑπὲρ αὐτοῦ εὔχεσθαι, ἐπειδή, φησίν, εἰς πορνείαν παρακοῆς πέπτωκα· ἐμοὶ δὲ τῷ ταπεινῷ τεθάῤῥηκεν ὁ μέγας οὗτος Μακεδόνιος τίνος χάριν τῇ τεταπεινωμένῃ ταύτῃ διαγωγῇ ἑκουσίως προσέδραμεν· οὐδέποτε γάρ, φησίν, κουφισμὸν οὕτω πολέμου παντός, καὶ φωτὸς θείου γλυκύτητα ἐν ἐμαυτῷ τεθέαμαι, ὥσπερ νῦν.

κζ'. Ἀγγέλων ἐστὶ τὸ μὴ πίπτειν· ἴσως δὲ οὐδὲ δυναμένων· ὥς φασί τινες· ἀνθρώπων δὲ τὸ πίπτειν, καὶ πάλιν ἀνίστασθαι, ὁσάκις ἂν τοῦτο συμβῇ· δαιμόνων δὲ μόνων τό, πεσόντας ἅπαξ, μηδέποτε αὖθις ἐγείρεσθαι [1]. Ὁ τὴν οἰκονομίαν τῆς μονῆς πεπιστευμένος τοῦτό μοι τεθάῤῥηκε. Νέον ὄντα, φησίν, καὶ ἐν τῇ τῶν ἀλόγων φροντίδι διάγοντα, συνέβη κατενεχθῆναί με εἰς βαρύτατον πτῶμα ψυχῆς· ἔχων δὲ συνήθως μηδέ ποτε κρύπτειν ὄφιν ἐν φωλεῷ καρδίας, τῷ ἰατρῷ τοῦτον τῆς κέρκου κρατήσας εὐθὺς ἐστηλίτευσα· Ὁ δὲ μειδιῶντι προσώπῳ φησὶ πρός με, παίσας μου τὴν σιαγόνα μετρίως· ἄπιθι, τέκνον, ἔχου τῆς διακονίας σου ὡς τὸ πρίν, μηδὲν τὸ παράπαν δεδιώς [2]· ἐγὼ δὲ πίστει διαπύρῳ πεισθεὶς ἐν βραχείαις ἡμέραις τῆς ἰάσεως πληροφορίαν εἰληφέναι, ἔτρεχον τὴν ὁδόν μου χαίρων ἅμα καὶ τρέμων.

κη'. Κέκτηται πᾶσα τάξις κτιστῶν, ὥς φασί τινες, διαφορὰς πολλάς· ἐπεὶ οὖν καὶ

(1) Ἤτοι, ὃν ἠγάπα ὁ Κύριος.

(1) Τρία εἰσὶ τάγματα, φησὶν ὁ Ἅγιος Μάξιμος· Ἄγγελοι, ἄνθρωποι, δαίμονες· τὸ μὴ πίπτειν οὐ κατ' οὐσίαν οἱ Ἄγγελοι κέκτηνται, ἀλλὰ κατὰ προαίρεσιν· οὐ γὰρ ἀκίνητοι φύσει πρὸς τὸ κακόν εἰσιν· ἐπεὶ οὔτε ὁ Σατανᾶς ἔπεσεν ἄν, ὡς ἐκ φύσεως μὴ δυνάμενος τοῦτο παθεῖν· ἀλλὰ δυσκίνητοι πρὸς τὸ ἐναντίον πεφύκασιν, ὥς φησιν ὁ θεολόγος Γρηγόριος. Οὐ κατ' οὐσίαν τοίνυν, ἀλλὰ κατὰ προαιρετικὴν ποιότητα κέκτηνται τὸ μὴ πίπτειν· ἣν οἱ δαίμονες ἐπὶ κακῷ στερεώσαντες, ἔμειναν διὰ τὸ ἀνεπίστροφον ἐν τῇ ἀποστασίᾳ. Οἱ δὲ ἄνθρωποι διὰ τὴν ἐπιστροφὴν κρείττους ἐκείνων εἰσίν· ὥσπερ οἱ Ἄγγελοι ὑπὲρ ἀμφοτέρους, διὰ τὸ ἀμετάτρεπτον.

(2) Μή τι πάθῃς ἀγεννὲς ἐπὶ τῷ Πατρί, ἄνευ ἐπιτιμίου καταλείψαντι τὸν ἐξαγορεύσαντα· ᾔδει γὰρ τοῦτον, ὡς ἔοικεν, ἐκ νέου μέχρι πολλοῦ τὴν ἄσκησιν νηφάλιον, καὶ τοῖς πόνοις τὸ εὐκαρτέρητον ἔχοντα, καὶ διὰ τοῦτο οὐ προσέθηκε τῷ βάρει ἕτερον· ἦν δὲ καὶ τὸ πρᾶγμα, ὡς οἶμαι, οὐκ ἄξιον σφοδρᾶς ἐπιτιμήσεως· ἐπεὶ οὐκ ἂν μειδιῶν τοῦτο ἰᾶτο, ἀλλ' ἐπεξῆλθεν ἄν, τὴν ἀκρίβειαν φυλάττων· τί δέ ἐστι νοῆσαι τὸ τέλος τῆς πράξεως; ἢ λαθροφαγίαν, ὅτι ἔφαγεν ἐκ τῶν βασταγμάτων τῶν ἀλόγων· εἰ δὲ βοσκήματα ἦν, ἀμέλγων ἀπεγεύσατο ἢ ἄλλο τι τοιουτότροπον.



παρὰ τῇ συνοδίᾳ τῶν ἀδελφῶν εἰσὶ προκοπῶν, καὶ γνωμῶν διαφοραί, ἐπάν τινας τούτων ὁ ἰατρὸς φιλενδείκτας πρὸς τὴν τῶν κοσμικῶν ἐν τῇ μονῇ ἐπιδημίαν ἐσημειοῦτο, τούτους ἐσχάταις ὕβρεσι, καὶ διακονίαις ἀτιμοτέραις περιέβαλλεν ἐνώπιον ἐκείνων, ὥστε λοιπὸν δρομαίως ὑποχωρεῖν, ἡνίκα δ' ἄν τις τῶν κατὰ κόσμον ἐπιδημία ἐγένετο· καὶ ἦν ἰδέσθαι ὑπερφυές τι γινόμενον· αὐτὴν τὴν κενοδοξίαν ἑαυτὴν ἐκδιώκουσαν, καὶ τοὺς ἀνθρώπους ἀποφεύγουσαν.

κθ'. Μὴ στερῆσαί με ὁ Κύριος ὁσίου πατρὸς εὐχῆς βουλόμενος, πρὸ μιᾶς ἑβδομάδος τῆς ἐμῆς ἐξελεύσεως, προσελάβετο τὸν τὰ δεύτερα τοῦ ποιμένος διέποντα, ἄνδρα θαυμαστόν, Μηνᾶν τοὔνομα, πεντήκοντα ἐννέα ἔτη ἔχοντα ἐν τῷ κοινοβίῳ λοιπόν, διακονήσαντα πᾶσαν διακονίαν· τῇ οὖν ἡμέρᾳ τῇ τρίτῃ, ἡμῶν τὸν συνήθη κανόνα τῆς τοῦ ὁσίου κοιμήσεως ἐπιτελούντων, ἐξαίφνης εὐωδιάζεται ὅλως ὁ χῶρος, ἐν ᾧ ὁ ὅσιος κατέκειτο· ἐπέτρεψεν οὖν ὁ μέγας τὴν ἐν ᾗ κατετέθη θήκην ἀποσκεπάσαι ἡμᾶς. Καὶ τούτου γενομένου, ὁρῶμεν πάντες ἐκ τῶν αὐτοῦ τιμίων πελμάτων, δίκην δύο πηγῶν, τὴν τοῦ μύρου εὐωδίαν ἐκπορευομένην· τότε φησὶν ὁ διδάσκαλος πρὸς πάντας· ὁρᾶτε τοὺς τῶν ποδῶν αὐτοῦ καὶ τῶν κόπων ἱδρῶτας· ὡς μύρον προσηνέχθησάν τε καὶ προσεδέχθησαν ἀληθῶς [1].

Πολλὰ μὲν οὖν καὶ ἄλλα περὶ τούτου τοῦ πανοσίου Μηνᾶ οἱ τοῦ τόπου πατέρες ἀπήγγειλαν ἡμῖν κατορθώματα· ἔλεγον δὲ καὶ τοῦτο· ὅτι ποτὲ ὁ προεστὼς τὴν αὐτοῦ θεοδώρητον ὑπομονὴν δοκιμάσαι βουλόμενος, ἀνελθόντα πρὸς τὸ ἡγουμενεῖον, καὶ βαλόντα μετάνοιαν ἀφ' ἑσπέρας τῷ ἡγουμένῳ, παράθεσίν τε λαβεῖν συνήθως ἱκετεύοντα, εἴασεν αὐτὸν οὕτω χαμαὶ κείμενον ἄχρι τῆς τοῦ κανόνος ὥρας· τότε λοιπὸν αὐτὸν εὐλογήσας, καὶ λοιδορήσας ὡς φιλενδείκτην, καὶ ἀνυπομόνητον, ἀνέστησεν· ἐγίνωσκε γὰρ ὁ Ὅσιος ὡς ὑποφέρει γενναίως· διὸ καὶ τὸ δρᾶμα τοῦτο πρὸς οἰκοδομὴν πάντων ἐποίησεν· ὁ δὲ τούτου ἡμᾶς τοῦ ὁσίου Μηνᾶ μαθητὴς ἐπληροφόρησε τὰ κατὰ τὸν ἐπιστάτην, λέγων· ὡς ἐμοῦ πολυπραγμονήσαντος αὐτόν, εἰ ἄρα ἐν τῇ τοιαύτῃ πρὸς τὸν ἡγούμενον γονυκλισίᾳ ὕπνῳ κατηνέχθη, διεβεβαιοῦτο ἅπαν τὸ ψαλτήριον χαμαὶ κείμενος ἀποστοματίσαι.

λ'. Οὐ παρίδω ἐγκαλλωπίσαι τὸν τοῦ λόγου στέφανον καὶ τῷ παρόντι σμαράγδῳ [1]· ἐκίνησά ποτε λόγον περὶ ἡσυχίας τισὶ τῶν ἀνδρειοτάτων ἐκείνων γερόντων· οἱ δέ, μειδιῶντι προσώπῳ, καὶ ἱλαρῷ ἤθει φασὶ πρός με· ἡμεῖς, ὦ πάτερ Ἰωάννη, ὑλικοὶ ὄντες, ὑλικωτέραν καὶ ἀγωγὴν μετερχόμεθα· ἐκεῖνο κρίνοντες, κατὰ τὸ μέτρον τῆς ἑαυτῶν ἀσθενείας καὶ τὸν πόλεμον ὑπελθεῖν· ἄμεινον λογισάμενοι ἀνθρώποις παλαίειν, τοῖς ποτὲ μὲν ἀγριουμένοις, ποτὲ δὲ μετανοοῦσι, καὶ μὴ δαίμοσι διὰ παντὸς πρὸς ἡμᾶς μαινομένοις, καὶ ὁπλιζομένοις [2].

λα'. Ἕτερος δὲ αὖθις τῶν ἀειμνήστων ἐκείνων πολλὴν πρός με τὴν κατὰ Θεὸν ἀγάπην καὶ παῤῥησίαν κεκτημένος, φησί μοι μετ' εὐμενείας (α)· εἰ ἄρα σοι πρόσεστι, πάνσοφε, ἡ (α) Ἐν ἄλλ. μετ' εὐνοίας

(1) Ἐν ἄλλοις [οὕτω κεῖνται τὰ ῥητὰ ἀπὸ τῆς λέξεως «πρὸς πάντας»· ὁρᾶτε; ἰδοὺ οἱ τῶν ποδῶν αὐτοῦ καὶ κόπων ἱδρῶτες, ὡς μύρον Θεῷ προσηνέχθησαν, καὶ προσεδέχθησαν ἀληθῶς.

(1) Καλῶς πάνυ λέγει στέφανον λόγου, καὶ οὐ λόγον ἁπλῶς, διὰ τὸ πολλοὺς ἐστέφθαι τούτῳ· διὸ καὶ ὡς ἐκ πολλῶν τιμίων λίθων περιηνθισμένῳ, εἰκότως καὶ τὸ παρὸν κεφάλαιον ὡς εἷς τῶν τιμίων λίθων τούτῳ προστεθέν, καλεῖται σμάραγδος.

(2) Φησὶ δὲ καὶ ὁ Ἀββᾶς Μάρκος· Κρεῖσσον πλημμέλεια ἀνθρώπων καὶ μὴ δαιμόνων· ὁ δὲ εὐαρεστῶν τῷ Κυρίῳ, τοὺς ἀμφοτέρους ἐνίκησε. Λέγει δὲ καὶ ὁ ἅγιος Εὐάγριος· Τοῖς μὲν ἀναχωρηταῖς οἱ δαίμονες γυμνοὶ προσπαλαίουσι· τοῖς δὲ ἐν Κοινοβίοις, ἢ συνοδίαις κατεργαζομένοις τὴν ἀρετήν, τοὺς ἀμελεστέρους τῶν ἀδελφῶν ἐξοπλίζουσιν· ὁ δεύτερος δὲ πόλεμος πολλῷ κουφότερος τοῦ προτέρου· διότι οὐκ ἔστιν εὑρεῖν ἐπὶ τῆς γῆς ἀνθρώπους πικροτέρους τῶν δαιμόνων, εἰ καὶ πᾶσαν τὴν κακουργίαν αὐτῶν ἀθρόως ὑποδεχομένους.

τοῦ εἰπόντος ἐν αἰσθήσει ψυχῆς ἐνέργεια·
Φιλιπ. δ'. 14. «ὅτι πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ», εἰ Πνεῦμα Ἅγιον δρόσου ἁγνείας
Λουκ. ά. 35. κατὰ τὴν Παρθένον ἐπῆλθεν ἐπὶ σέ, εἰ δύναμις ὑψίστου ὑπομονῆς ἐπεσκίασέ σοι, ζῶσαι ὥσπερ ἀνὴρ (Χριστὸς ὁ Θεὸς) τὴν ὀσφύν σου λεντίῳ ὑπακοῆς, καὶ ἀναστὰς ἐκ τοῦ δείπνου τῆς ἡσυχίας, νίψον πόδας ἀδελφῶν ἐν συντετριμμένῳ πνεύματι· μᾶλλον δὲ κυλίου ὑπὸ πόδας συνοδίας ἐν καταβεβλημένῳ φρονήματι· στῆσον πυλωροὺς ἀποτόμους καὶ ἀΰπνους ἐν πύλῃ καρδίας σου· κράτει νοῦν ἀκράτητον ἐν περισπωμένῳ σώματι· ἄσκει νοερὰν ἡσυχίαν ἐν κινουμένοις καὶ σαλευομένοις μέλεσι, τὸ πάντων παραδοξότατον· γίνου ἀπτόητος ψυχὴ μεταξὺ τῶν θορύβων· ἄγχε γλῶτταν προπηδᾷν ἐν ἀντιλογίαις μαινομένην.

Πάλαιε τῇ δεσποίνῃ ταύτῃ ἑβδομηκοντάκις ἑπτὰ τῆς ἡμέρας· πῆξον ἐν ξύλῳ ψυχῆς σταυρῷ [1] νοῦν ἄκμονα, δι' ἀλλεπαλλήλων σφυρῶν καὶ κτύπων τυπτόμενον, ἐμπαιζόμενον, λοιδορούμενον, χλευαζόμενον, ἀδικούμενον, καὶ μηδαμῶς ἐκλυόμενον, μηδὲ θραῦσιν ὑπομένοντα, ἀλλ' ὅλον λεῖον, καὶ ἀκίνητον ὑπάρχοντα· ἀπόδυσαι θέλημα ὡς αἰσχύνης περιβολήν, καὶ γυμνὸς τούτου ἐν τῷ σκάμματι εἴσελθε, τὸ σπάνιον καὶ δυσεύρετον· ἔνδυσαι πίστεως θώρακα πρὸς τὸν ἀγωνοθέτην, ὑπὸ ἀπιστίας μὴ διαλυόμενον, μηδὲ τιτρωσκόμενον· κράτει χαλινῷ σωφροσύνης ἀφῆς, ἀναιδῶς προπηδώσης· ἄγχε ὀφθαλμὸν μελέτῃ θανάτου, μεγέθη σωμάτων καὶ ὥρας περιεργάζεσθαι καθ' ὥραν βουλόμενον· φίμου νοῦν περίεργον ἐν οἰκείᾳ μερίμνῃ, τὸν ἀδελφὸν κατακρίνειν ἐν ἀμελείᾳ βουλόμενον, ἔργῳ πᾶσαν ἀγάπην καὶ συμπάθειαν πρὸς τὸν πλησίον ἀπλανῶς ἐμφανίζων.

Γνώσονται πάντες ἀληθῶς ἐν τούτῳ, προσφιλέστατε Πάτερ, ὅτι Χριστοῦ μαθητὴς ὑπάρχεις τότε, ἐὰν ἐν συνοδίᾳ ἀγάπην ἔχωμεν ἐν ἀλλήλοις· δεῦρο, δεῦρο, πάλιν ἔλεγεν ὁ καλὸς φίλος· δεῦρο συναυλίσθητι· πίε μυκτηρισμὸν καθ' ὥραν ὡς ὕδωρ ζῶν· ἐπειδὴ πάντα τὰ ὑπὸ τὸν οὐρανὸν ὁ Δαβὶδ ἐξερευνήσας τερπνά, ἔσχατον πάντων διαπορῶν ἔλεγεν· «Ἰδοὺ δὴ τί καλόν; ἢ τί τερπνόν; οὐδέν, Ψαλμ. ρλβ'. ἀλλ ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό»· εἰ δὲ οὔπω τοῦ ἀγαθοῦ τῆς τοιαύτης ὑπομονῆς καὶ ὑπακοῆς ἠξιώθημεν, καλὸν λοιπὸν κἂν τὴν οἰκείαν ἀσθένειαν ἐπεγνωκότας, πόῤῥω τοῦ ἀθλητικοῦ σταδίου καταμόνας ἵστασθαι, τοὺς ἀθλοῦντάς τε μακαρίζειν, καὶ τούτοις ὑπομονὴν ἐπεύχεσθαι. Ἡττήθην ἐγὼ λόγοις ἀγαθοῖς πατρός, καὶ διδασκάλου ἀρίστου εὐαγγελικῶς μοι καὶ προφητικῶς, μᾶλλον δὲ φιλικῶς μαχησαμένου· ὅθεν καὶ τὰ πρεσβεῖα τῇ μακαρίᾳ ὑπακοῇ δοῦναι ἀναμφιβόλως ἠθέλησα.

λβ'. Μιᾶς ἔτι ὀνησιφόρου τῶν μακαρίων τούτων ἀρετῆς ἐπιμνησθείς, πάλιν ὥσπερ ἐκ παραδείσου ἐξιών, τὰ ἀκαλλῆ καὶ ἀνόνητα ἀκανθολογήματα ἡμῖν παραθήσομαι [1]. Ἐν τῇ εὐχῇ πολλάκις ἡμῶν παρισταμένων, συντυχίαν τινὰς ποιήσαντας, ἐσημειώσατο ὁ ποιμήν· οὓς ἐπὶ ἑβδοματιαῖον χρόνον πρὸ τῆς ἐκκλησίας στήσας, πᾶσι μετάνοιαν ποιεῖν παρεκελεύσατο τοῖς εἰσιοῦσί τε καὶ ἐξιοῦσι· καί τοιγε κληρικούς, ἤτοι πρεσβυτέρους ὑπάρχοντας [2].

Ὁρῶν τινα τῶν ἀδελφῶν σὺν αἰσθήσει καρδίας πλέον τῶν πολλῶν ἐν τῇ ψαλμῳδίᾳ παριστάμενον, καὶ μάλιστα ἐν τῇ πρωτολογίᾳ τῶν ὕμνων ὡς πρός τινας τοῖς ἑαυτοῦ ἤθεσι καὶ τῷ προσώπῳ διαλεγόμενον, ἠρώτων τοῦ ἤθους τοῦ μακαρίου τὴν ἔννοιαν μαθεῖν· ὁ δὲ μὴ κρύπτειν ἐγνωκὼς ἐπ' ὠφελείᾳ, φησί· τοὺς λογισμούς, πάτερ Ἰωάννη, καὶ τὸν νοῦν ἅμα τῇ ψυχῇ ἐκ προοιμίων εἴωθα ἐπισυνάγειν· καὶ συγκαλῶν, τούτοις ἐπιφωνεῖν· δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Τὸν δὲ ἑστιάτορα τοῦτο κατέλαβον πολυπραγμονήσας ποιοῦντα· μικρὸν γὰρ πτυχίον ἐν τῇ ζώνῃ κρεμάμενον ἔχοντα ὁρῶν, ἔμαθον ὡς τοὺς ἑαυτοῦ καθ' ἡμέραν λογισμοὺς σημειούμενος, τούτους πάντας τῷ ποιμένι ἐξαγγέλλει· οὐ μόνον δὲ τοῦτον, ἀλλὰ καὶ ἑτέρους πλείστους τῶν αὐτόθι τοῦτο ποιοῦντας ἐθεώμην· ἦν δὲ καὶ αὕτη ἐντολὴ τοῦ μεγάλου ὡς ἀκήκοα.

λγ'. Ἐδιώχθη τίς ποτε παρ' αὐτοῦ τῶν ἀδελφῶν, τὸν πλησίον πρὸς αὐτὸν διαβαλὼν ὡς φλύαρον καὶ λάλον· ὁ δὲ προσεκαρτέρησε τῷ πυλῶνι τῆς μονῆς ἑβδόμην ἡμέραν δυσωπῶν εἰσόδου καὶ συγχωρήσεως τυχεῖν· ὡς δὲ τοῦτο ἔμαθεν ὁ φιλόψυχος, περιεργασάμενος, καὶ μηδὲν αὐτὸν βεβρωκέναι ἐν ταῖς ἓξ ἡμέραις τὸ παράπαν ἀκούσας, δηλοῖ αὐτῷ, ὡς εἴγε ὅλως ἐν τῇ μονῇ τὴν οἴκησιν ποιήσασθαι βούλει, ἐν τῇ τῶν μετανοούντων τάξει σε κατατάξω· ὡς οὖν ἄσμενος τοῦτο ἐδέξατο ὁ μετανοῶν, ἐκέλευσεν αὐτὸν ὁ ποιμὴν εἰς τὴν ἰδιάζουσαν μονὴν τῶν ἐπὶ πτώμασι πενθούντων ἀπενεχθῆναι· ὅπερ καὶ γέγονεν.

Ἐπεὶ δὲ τῆς εἰρημένης ἐμνήσθημεν μονῆς, διὰ βραχέων περὶ αὐτῆς εἴπωμεν. Τόπος μὲν ἦν ἀπὸ σημείου ἑνὸς τῆς μεγάλης μονῆς, Φυλακὴ λεγόμενος, ἀπαράκλητος· οὐκ ἦν ἐκεῖσε ποτὲ καπνὸν ὀφθῆναι· οὐκ οἶνον· οὐκ ἔλαιον εἰς βρῶσιν· οὐχ ἕτερόν τι, ἀλλ' ἢ ἄρτον καὶ λεπτὰ λάχανα· ἐν τούτῳ τοὺς μετὰ τὴν κλῆσιν συμποδιζομένους ἀπροΐτους κατέκλειεν· οὐχ ἅμα, ἀλλ' ἰδίᾳ καὶ χωρίς, ἢ καὶ δύο τὸ πολύ, ἕως οὗ ὁ Κύριος αὐτὸν περὶ ἑκάστου ἐπληροφόρησε· κατέστησε δὲ αὐτοῖς καὶ τοποποιὸν μέγαν Ἰσαὰκ ὀνόματι, ὃς ἀπῄτει τὴν προσευχὴν ἀδιάλειπτον σχεδὸν τοὺς αὐτῷ παραδιδομένους· εἶχε δὲ καὶ θαλλοὺς πλείστους εἰς ἀκηδίας ἐμπόδιον. Οὗτος ὁ βίος, αὕτη ἡ κατάστασις, αὕτη ἡ διαγωγὴ τῶν ὄντως ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ.

λδ'. Τὸ μὲν θαυμάζειν τοὺς πόνους τῶν Ἁγίων, καλόν· τὸ δὲ ζηλοῦν, σωτηρίας πρόξενον· τὸ δὲ ὑφ' ἓν τὴν ἐκείνων ἐθέλειν μιμεῖσθαι πολιτείαν, ἄλογον, καὶ ἀμήχανον [1].

λε'. Δακνόμενοι ἐπὶ τοῖς ἐλέγχοις, τῶν ἡμετέρων ἁμαρτημάτων μνημονεύσωμεν· ἄχρις οὗ ὁ Κύριος τὴν βίαν ἡμῶν τῶν βιαστῶν αὐτοῦ ὁρῶν, ταῦτα ἐξαλείψῃ, καὶ τὴν δάκνουσαν ἡμᾶς ἐν τῇ καρδίᾳ ὀδύνην εἰς χαρὰν μεταποιήσῃ· «Κατὰ γὰρ τὸ πλῆθος Ψαλμ. 93. τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου, φησί, κατὰ τοσοῦτον αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου ἐν τῷ ἰδίῳ καιρῷ».

λς'. Μὴ ἐπιλαθώμεθα τοῦ λέγοντος πρὸς Ψαλμ ο'. Κύριον· «Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με, καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς μετὰ τὸ πεσεῖν πάλιν ἀνήγαγές με».

λζ'. Μακάριος, ὃς διὰ Κύριον καθ' ἡμέραν λοιδορούμενος καὶ ἐξουθενούμενος, ἑαυτὸν ἐβιάσατο· μετὰ Μαρτύρων ὁ τοιοῦτος χορεύσει, καὶ μετὰ Ἀγγέλων παῤῥησιάσεται. Μακάριος μοναχός, ὃς πάσης ἀτιμίας καὶ ἐξουδενώσεως ἑαυτὸν ἄξιον καθ' ὥραν λογίζεται. Μακάριος, ὃς τὸ ἑαυτοῦ θέλημα εἰς τέλος ἐνέ-

(1) Ἤτοι, ἀνασταύρωσον ὡς ἐν ξύλῳ τῇ ψυχῇ τὸν νοῦν, τῷ μὴ ἐᾷν τοῦτον πελάζεσθαι ἔξω που ταύτης, μηδὲ θραῦσίν τινα, ἢ ἔκλυσιν ὑπομένειν πολυτρόπως θλιβόμενον δι' ἀλλεπαλλήλων συμφορῶν· ἀλλ' ὥσπερ τινὰ ἄκμονα πάντα φέρειν γενναίως, μηδεμίαν βλάβην ἐπιδεχόμενον.

(5) Ἀκαλλῆ, κατὰ τὴν φράσιν· ἀνόνητα, κατὰ τὴν κοσμικὴν εὐπραγίαν· ἀκανθολογήματα δέ, κατὰ τὴν σκληρὰν δοκοῦσαν διήγησιν.

(6) Ἤδει γὰρ ὡς ὁ ἐφησυχάζων τῷ πταίοντι, οὐχ ἧττονα αὐτοῦ τὴν καταδίκην ὑποστήσεται· τοῦτο δὲ περὶ τῶν ἐν ἐκκλησίᾳ συντυγχανόντων.

(1) Πῶς ἀμήχανόν φησι τὸ ὑφ' ἓν μιμεῖσθαι; ὅτι ὁ μέν, φιλόξενος· ὁ δέ, ἀπρόσιτος· καὶ ὁ μέν, εὔσκυλτος εἰς τὰς διακονίας· ὁ δέ, ἀπρόϊτος· καὶ ὁ μέν, διὰ πολλῶν ἡμερῶν τρεφόμενος· ὁ δέ, συνεχέστερον· λοιπὸν ὑφ' ἓν μιμήσασθαι πάντας ἀμήχανον.